eul_wid: mlw-aw

*Ἀριστοφάνους Σχόλια* · Aristophanes Scholia

# Scholia-Wasps

*Σχόλια εἰς Σφῆκας*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Γραμματική* Grammar
**Format:** *Πεζός* Prose

book 1 φιλοῦντα δικάζειν πατέρα παῖς εἵρξας ἄφνω αὐτός τ' ἐφύλαττεν ἔνδον οἰκέται θ', ὅπως μὴ λανθάνῃ μηδ' ἐξίῃ διὰ τὴν νόσον. ὁ δ' ἀντιμάχεται παντὶ τρόπῳ καὶ μηχανῇ· εἶθ' οἱ συνήθεις καὶ γέροντες λεγόμενοι σφῆκες παραγίνονται βοηθοῦντες σφόδρα ἐπὶ τῷ δύνασθαι κέντρον ἐνιέναι τισὶν φρονοῦντες ἱκανόν. ὁ δὲ γέρων τηρούμενος ξυμπείθετ' ἔνδον διαδικάζειν καὶ βιοῦν, ἐπεὶ τὸ δικάζειν κέκρικεν ἐκ παντὸς τρόπου.

book 2 Φιλοκλέων Ἀθηναῖος φιλόδικος ὢν τὴν φύσιν ἐφοίτα περὶ τὰ RV [εἰς lhAldc] δικαστήρια συνεχῶς. Βδελυκλέων δὲ ὁ τούτου παῖς ἀχθόμενος ταύτῃ τῇ νόσῳ καὶ πειρώμενος τὸν πατέρα παύσειν, ἐγκαθείρξας τοῖς οἴκοις καὶ δίκτυα περιβαλὼν ἐφύλαττε νύκτωρ καὶ μεθ' ἡμέραν. ὁ δὲ ἐξόδου ἑαυτῷ RV* [αὐτῷ lhAldc] μὴ προκειμένης ἔκραζεν. οἱ δὲ συνδικασταὶ αὐτοῦ RV σφηξὶν ἑαυτοὺς RV [αὑτοὺς lhAldc*] ἀφομοιώσαντες παρεγένοντο, βουλόμενοι διὰ ταύτης τῆς τέχνης ὑποκλέπτειν τὸν συνδικαστήν· ἐξ ὧν καὶ ὁ χορὸς συνέστηκε καὶ τὸ δρᾶμα ἐπιγέγραπται. ἀλλ' οὐδὲν ἤνυον RV [ἤνυον lhAldc] οὐδὲ οὗτοι. πέρας δὲ τοῦ νεανίσκου θαυμάζοντος, τίνος ἕνεκα ὁ πατὴρ οὕτως ἥττηται τοῦ πράγματος, ἔφη ὁ πρεσβύτης τὸ πρᾶγμα εἶναι σπουδαῖον καὶ σχεδὸν ἀρχῆς τὸ δικάζειν. ὁ δὲ παῖς ἐπειρᾶτο τὰς ὑποψίας ἐξαίρειν τοῦ πράγματος νουθετῶν τὸν γέροντα. ὁ δὲ πρεσβύτης μηδαμῶς νουθετούμενος οὐ μεθίει τοῦ πάθους RV [πράγματος lhAldc*], ἀλλ' ἀναγκάζεται ὁ νέος ἐπιτρέπειν αὐτῷ φιλοδικεῖν

book 2 RVlhAldc καὶ ἐπὶ τῆς οἰκίας τοῦτο ποιεῖ καὶ τοῖς κατὰ τὴν οἰκίαν δικάζει. καὶ δύο κύνες ἐπεισάγονται πολιτικῶς παρ' αὐτῷ κρινόμενοι· καὶ κατὰ τοῦ φεύγοντος ἐκφέρει τὴν ψῆφον. RV

book 2,col 2 καὶ ἐπὶ τῆς οἰκίας μόνον τοῦτο ποιεῖν καὶ τοὺς κατὰ τὴν οἰκίαν δικάζειν. καὶ δύο κύνες παρεισάγονται παρ' αὐτῷ πολιτευτικῶς κρινόμενοι· καὶ κατὰ τοὺς φεύγοντας ἐκφέρειν συνεχῶς τὴν ψῆφον μέλλων ἀπατηθεὶς ἄκων τὴν ἀποκαταδικάζουσαν φέρει ψῆφον. lhAldc

book 2 περιέχει δὲ καὶ δικαιολογίαν τινὰ τοῦ ποιητοῦ RV [χοροῦ LhAldc] ἐκ τοῦ ποιητικοῦ προσώπου RVlhAldc ὡς σφηξὶν ἐμφερεῖς εἰσιν οἱ τοῦ χοροῦ, RV

book 2,col 2 διὰ τὸ σφηξὶν ἐμφερεῖς εἶναι τοὺς τοῦ χοροῦ, lhAldc

book 2 ἐξ ὧν καὶ τὸ δρᾶμα· οἳ ὅτε μὲν ἦσαν νέοι, πικρῶς ταῖς δίκαις ἐφήδρευον, ἐπεὶ δὲ γέροντες γεγόνασιν, κεντοῦσι τοῖς κέντροις. ἐπὶ τέλει δὲ RV τοῦ δράματος ὁ γέρων ἐπὶ δεῖπνον καλεῖται καὶ ἐπὶ ὕβριν τρέπεται· καὶ RV Ald κρίνει αὐτὸν ὕβρεως ἀρτόπωλις R*V*c* [ἀρτοπῶλις

lh*Ald*]. ὁ δὲ γέρων πρὸς αὐλὸν καὶ ὄρχησιν τρέπεται καὶ γελωτοποιεῖ τὸ δρᾶμα. τοῦτο τὸ δρᾶμα πεποίηται αὐτῷ οὐκ ἐξ ὑποκειμένης ὑποθέσεως, ἀλλ’ ὡσανεὶ γενομένης· πέπλασται γὰρ RV [δὲ lhAldc] τὸ ὅλον. διαβάλλει δὲ Ἀθηναίους ὡς φιλοδικοῦντας καὶ σωφρονίζει τὸν δῆμον ἀποστῆναι τῶν δικῶν· καὶ c διά τοι τοῦτο RVc* [διὰ τὸ τοιοῦτο lhAld] καὶ τοὺς δικαστὰς σφηξὶν ἀπεικάζει κέντρα ἔχουσι καὶ πλήττουσιν. πεποίηται δὲ RV [δ’ lhAldc] αὐτῷ χαριέντως. ἐδιδάχθη ἐπὶ ἄρχοντος Ἀμεινίου διὰ Φιλωνίδου ἐν τῇ πόλει Ὀλυμπιάδι · β′ ἦν, εἰς Λήναια· καὶ ἐνίκα πρῶτος Φιλωνίδης Προαγῶνι RV* [Προάγωνι

book 2 lh*Ald*c*], Λεύκων Πρέσβεσι γ′. RVlhAld

book 1 οἰκέται β′· παῖδες· Βδελυκλέων· ἀρτόπωλις· Φιλοκλέων· συμπότης· χορὸς ἐκ γερόντων σφηκῶν· Κυδαθηναιεὺς κύων. RV

book 1,col 2 οἰκέται δύο Σωσίας καὶ Ξανθίας· Βδελυκλέων· Φιλοκλέων· χορὸς γερόντων σφηκῶν· παῖδες· κύων· κήρυξ· Κυδαθηναιεύς· θεσμοθέτης· γυνὴ ἀρτοπῶλις· ἀνήρ τις Εὐριπίδης· κατήγορος. lhAld

book 1a οὗτος τί πάσχεις: προλογίζουσι δύο οἰκέται ἀποδυσπετοῦντες πρὸς τὴν φυλακὴν τοῦ γέροντος, τοῦ δεσπότου (.) VLhAld αὐτῶν. Lh

book 1b κατ’ ἀρχὴν στίχοι ἴαμβοι τρίμετροι ἀκατάληκτοι σκθ′, ὧν τελευταῖος πολλῶν δικαστῶν σφηκιὰν διασκεδῶ.

book 2a φυλακὴν καταλύειν: χαριεντιζόμενος ἀντὶ τοῦ φυλάσσειν τοῦτό φησιν, παρόσον οὐ διαγρυπνεῖν δύναται. Σύμμαχός φησιν· “οὕτως οἶμαι τε λέγειν τὸ ἀποκοιμᾶσθαι ἐπὶ τῆς φυλακῆς· 〈οἷον〉 καταλείπειν τὴν τάξιν.” R

book 2b φυλακὴν καταλύειν: οὕτω λέγουσι τὸ ἀποκοιμηθῆναι V [ἐπινυστάζειν LhAld] ἐπὶ τῆς φυλακῆς· “φυλακὴν καταλύειν νυκτερινήν”, ἤγουν LhAld καταλιπεῖν τὴν τάξιν (.) VLhAld βούλομαι. LhAld

book 2c ἀντὶ τοῦ RV μελετῶ καθεύδειν· οἷον VLh [ἤγουν Ald] νυστάζω. RVLhAld

book 2d καταλύειν κτλ.] ἀντὶ τοῦ φυλάσσων μελετῶ καθεύδειν· οἷον νυστάζω. Lh

book 3a προὔφειλες: ταῖς πλευραῖς κακὸν μέγα, ὅπερ ἀποδώσεις μαστιγωθεὶς δηλονότι. R

book 3b προὔφειλες: οὐδὲν ἄλλο ἐκ τοῦ “προὔφειλες” ἐκδεκτέον ἢ μόνον τὸ “ὤφειλες.” VAld ἐχρεώστεις τι μέγα κακὸν VAld

book 3b,col 2 οἷον· μέγα τι κακὸν ἐχρεώστεις Lh

book 3b ταῖς πλευραῖς σου καὶ θέλεις αὐτὸ ἀποδοῦναι. VLhAld

book 4a κνώδαλον: κυρίως ἐπὶ τοῦ θαλασσίου V [θαλαττίου Ald] θηρίου· εἴρηται δὲ καὶ ἐπὶ τοῦ χερσαίου “κνώδαλον”. VAld παρὰ τὸ κυσὶν ἁλίσκεσθαι. Ald

book 4b κνώδαλον] θηρίον. Lh

book 5a μέρμηρα ἡ μέριμνα καὶ ἡ φροντὶς καὶ ὁ πρὸ ἕω ὕπνος. R

book 5b ἀπομερμηρίσαι: μέρμηρα ἡ εἰς ὕπνον καταφορὰ περὶ τὴν ἕω. VAld

book 5c μέρμηρα ἡ μέριμνα καὶ ἡ φροντίς· ἐκ δὲ τούτου τὸ καθευδῆσαι· οἱ γὰρ καθεύδοντες ἀποτίθενται τὰς μερίμνας V [φροντίδας Ald]. καὶ πρὸς τὸν ὄρθρον δὲ γίνεταί τις ὕπνος ἐν ταῖς ἐπιστάσεσιν ἐλαφρός, ὃν τούτῳ τῷ ὀνόματι καλοῦσιν. VAld

book 5d μέρμηρα λέγεται ἡ μέριμνα καὶ ἡ φροντίς· λέγεται δὲ ἀπὸ τούτου καὶ ἡ πρὸς ὄρθρον γινομένη ἐν ταῖς ἀγρυπνίαις τοῦ ὕπνου καταφορά· οἱ γὰρ πρὸς ὕπνον τραπέντες ἀποτίθενται τὰς μερίμνας. Lh

book 6a παρακινδύνευε: παρ’ ὑπόνοιαν εἶπεν. VAld δέον εἰπεῖν “κατακοιμῶ” εἶπε “παρακινδύνευε”. ἐπεὶ ἤμελλε μαστίζεσθαι, ἐὰν κοιμηθῇ, ἐκ τοῦ ἑπομένου εἶπε τὸ προηγούμενον. VAld

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 6a,col 2 δέον εἰπεῖν “κατακοιμῶ”, ἐπεὶ ἔμελλεν ὑπνώσας μαστίζεσθαι, τοῦτο εἶπε τὸ “παρακινδύνευε”. ἀντὶ τοῦ προηγουμένου τὸ ἑπόμενον. Lh

book 6b παρακινδύνευ’] δέον ἦν εἰπεῖν “κατακοιμῶ”. Lh

book 7 κατὰ ταῖν κόραιν] ἤγουν ἐν τοῖς ὀφθαλμοῖς. Lh

book 8a κορυβαντιᾶν τὸ Κορύβασι κατέχεσθαι· τελέτη δέ τις ἦν τῶν Κορυβάντων. ἔνιοι δέ, ὅτι ἀπὸ τῶν δακρύων τοῦ Διὸς ἐγένοντο· πάντες δὲ ὁμολογοῦσι τῆς Ῥέας μὲν ὀπαδοὺς αὐτοὺς γεγονέναι, φύλακας δὲ τοῦ Διός. R

book 8b κορυβαντιᾷς: μαίνῃ. παρόσον οὗτοι οἱ δαίμονες μανίας τε καὶ ἐνθειασμοῦ VAld εἰσιν(ὶν) ἐμποιητικοί. ὀνειδίζει δὲ VAld καὶ οὗτος VLhAld αὐτῷ, οἷς ἐλοιδορεῖτο αὐτόν, φάσκων κινδυνεύειν 〈ὕπνῳ〉 περιπεσόντι. VAld

book 8b,col 2 αὐτὸν ὕπνῳ περιπίπτειν λέγων. Lh

book 9a ἐκ Σαβαζίου: πρὸς τὸ “κορυβαντιᾷς” εἶπε R [ἐπήγαγε VAld] τὸ “Σαβαζίου”. ἐκεῖνος δέ(δὲ) , ἐπεὶ παραφρονεῖ, R [ἐπὶ τοῦ παραφρονεῖν VAld*] συμβουλεύει καὶ VAld κοιμᾶσθαι R [ἀποκοιμηθῆναι VAld]. RVAld

book 9b Σαβάζιον τὸν Διόνυσον οἱ Θρᾷκες καλοῦσι καὶ Σαβοὺς VAld [Σάβους Lh] τοὺς ἱεροὺς VAld [ἱερεῖς Lh] αὐτοῦ. παίζει δέ, ὡσεὶ ἔλεγε “βάρβαρός τις καὶ σκληρὸς ὕπνος”. VLhAld

book 10 βουκολεῖς] τρέφεις. LhAld

book 12a πρὸς τὸ “ἐστρατεύσατο” παρέλαβε τὸν Μῆδον· ἐν γὰρ στρατιαῖς οὗτοι. R

book 12b Μηδός τις: ἢ V πρὸς τὸ “Σαβάζιος” εἶπε καὶ οὗτος τὸ “Μῆδος”, ἢ ἀντὶ τοῦ VAld [ἤγουν Lh] ἐχθρός. ἐπεὶ καὶ “ἐστρατεύσατο” εἶπεν· πολέμιοι γὰρ οὗτοι Ἕλλησιν VAld* [τοῖς Ἕλλησιν οἱ Μῆδοι Lh]. VLhAld

book 12c Μῆδός τις κτλ.] ἤγουν ἐχθρός, παρόσον οὗτοι πολέμιοι Ἕλλησιν. Lh

book 18a ἐπίχαλκον: τὴν ἔξωθεν χαλκῆν. τοῦτο δὲ προσέθηκε διὰ τὴν ὁμωνυμίαν τὴν πρὸς τὸ ἑρπετόν. VAld

book 18a,col 2 ἐπίχαλκον τὴν ἀσπίδα εἶπεν ἤγουν ἔξωθεν τῷ χαλκῷ κεκοσμημένην διὰ τὴν ἐπωνυμίαν τὴν πρὸς τὸ ἑρπετὸν τὸ ὀνομαζόμενον ἀσπίδα. Lh

book 18a δοκεῖ δέ μοι τὴν ἀσπίδα τὸ ὅπλον ἀπὸ τοῦ τοιούτου ὠνομάσθαι ζῴου, διὰ τὸ εἰς κύκλους πολλοὺς ἑλισσόμενον καθεύδειν· κυκλικαὶ γὰρ ἦσαν αἱ ἀσπίδες τῶν παλαιῶν, ὡς καὶ Lh Αἰσχύλος· ἅλω δὲ πολλήν, ἀσπίδος κύκλον λέγω, ἔφριξα δινήσαντος. οὕτω δὲ τὸ ζῷον ὠνόμασται· ἀπὸ τοῦ α ἐπιτατικοῦ μορίου καὶ τοῦ σπίζω τὸ ἐκτείνω, διὰ τὸν ὀξὺν αὐτοῦ συριγμὸν ἢ διὰ τὸ τοῦ σώματος αὐτοῦ μῆκος. LhAld

book 18b ἐπίχαλκον] ἔξωθεν χαλκῆν. Lh

book 18c ἀνεκὰς: ἀντὶ τοῦ ἄνω καὶ πάνυ ἑκὰς καὶ εἰς ὕψος VAld

book 18c,col 2 ἀνεκὰς] ἄνω πάνυ. εἰς τὸν οὐρανόν] ἤγουν εἰς ὕψος. Lh

book 19a ἀποβαλεῖν Κλεώνυμον: ὅτι Ald μετὰ τῶν ἄλλων, εἰς ἃ R [ὧν VAld] κωμῳδεῖται, καὶ VAld δειλὸς λέγεται R καὶ ῥίψασπις (.) RVAld εἶναι. R παρ’ ὑπόνοιαν δὲ κωμῳδεῖ αὐτόν. VAld

book 19b Κλεώνυμον] οὗτος καὶ δειλὸς καὶ ῥίψασπις κωμῳδεῖται. Lh

book 20a οἱ γρῖφοι ζητήματα αἰνιγματώδη, οἷς ἐχρῶντο πρὸς τοῖς συμποσίοις· ἑπτὰ τὰ γένη αὐτῶν ἀναγράφει Κλέαρχος ἐν τῷ περὶ γρίφων. R

book 20b οὐδὲν ἄρα γρίφου: ἀντὶ τοῦ VAld παροινίου ζητήματος , αἰνίγματος Lh· οἷον VAld [ἤγουν Lh] δύναταί τις γρῖφον ποιῆσαι καὶ ἀπὸ τῶν Κλεωνύμου πράξεων. ἑπτὰ δὲ ἀναγράφει αὐτῶν γένη

ὁ Κλέαρχος ἐν τῷ περὶ γρίφων συντάγματι. γρίφοι δὲ VAld λέγονται τὰ ἐν τοῖς συμποσίοις προβαλλόμενα αἰνιγματώδη ζητήματα. VLhAld

book 21 τοῖς συμπόταις: ἐν γὰρ τοῖς συμποσίοις προεβάλλοντο οἱ γρίφοι πρὸς λύσιν. LhAld

book 22a ὅ τι ταὐτὸν ἐν γῇ: παρόσον ὁ ἀετὸς διὰ τοῦ ἀέρος πέτεται καὶ διὰ τῆς θαλάττης καὶ ἐπὶ τῆς γῆς. R

book 22b ὅ τι ταὐτὸν: ἐν τῷ “ὅ τι ταὐτὸ Lh” περιττεύει τὸ ο ἀττικῶς. VLhAld τὸ γὰρ σημαινόμενον ἀντὶ τοῦ “τί ταὐτὸν ἐν γῇ τ’ ἀποβαλεῖν” ἐν ἐρωτήσει· καὶ ἔστιν ὁ λόγος οὕτως· τί τὸ αὐτὸ θηρίον ἐν παντὶ τόπῳ δυστυχεῖ περὶ τὰ πολεμικὰ καὶ ἐν γῇ καὶ ἐν ναυμαχίᾳ; (23) θηρίον δὲ ὁ ἀετὸς πανταχοῦ περιιπτάμενος, ᾧ παραβάλλει τὸν Κλεώνυμον. VAld

book 22c 22] ἤγουν κατὰ τί ἐν γῇ καὶ θαλάσσῃ δυστυχεῖ περὶ τὰ πολεμικὰ Κλεώνυμος; Lh

book 23 θηρίον τὴν ἀσπίδα: θηρίον δὲ εἶπεν οὐκ ἀπεικότως, R

book 23,col 2 οὐκ ἀπεικότως θηρίον αὐτὸν VAld [τὸν Κλεώνυμον Lh] εἶπεν, VLhAld

book 23 ἐπεὶ μακρὸς(ός) τις ἦν Lh καὶ ἄρυθμος RVLh* [ἄρρυθμος Ald] (.) RVLhAld ὁ Κλεώνυμος. RVAld

book 27a δεινὸν γὰρ τὸ ὄναρ ἐστίν, τὸ ῥίψασπιν 〈εἶναι〉, δεινὸν δὲ καὶ τὸ ῥῖψαι τὴν ἀσπίδα πρᾶγμα· πρὸς ἑκάτερον πέπαιχεν. R

book 27b δεινόν γέ που ’στ’ ἄνθρωπος: τοῦτό φησιν· οἶδα, ὅτι δεινὸν πρᾶγμα ἰδεῖν ἄνθρωπον ἀποβαλεῖν ὅπλα VLh [τὴν ἀσπίδα Ald]. VLhAld

book 29 τοῦ σκάφους ὅλου: ἀεὶ οἱ ποιηταὶ τὰς πόλεις πλοίοις παραβάλλουσιν. VLhAld καὶ Σοφοκλῆς . VAld

book 30a λέγε νῦν ἀνύσας: τὸ “ἀνύσας” Ἀττικοὶ δασύνουσιν. VAld

book 30b ὡσανεὶ ἔλεγε τὴν ῥίζαν. RVAld ἐπεὶ τῶν δρυόχων ἡ τρόπις ἵσταται πρώτη V [πρῶτον Ald]. VAld

book 30c τρόπιν: ἀντὶ τοῦ μέρος, ἀπὸ μεταφορᾶς τοῦ σκάφους· οἱ δέ, τὴν ἀρχήν. ἔπαιξε δὲ πρὸς τὸ “σκάφος”. VAld

book 30d ἀπὸ μεταφορᾶς τοῦ σκάφους τρόπιν εἴρηκε τὴν ἀρχὴν τοῦ πράγματος, οἷον τὴν ῥίζαν· ἐπὶ γὰρ τῶν πλοίων ἡ τρόπις πρῶτον ἵσταται· εἴρηκε δὲ τοῦτο διὰ τὸ εἰπεῖν ἐκεῖνον τὸ “σκάφος”. Lh

book 30e νυν] δή. Lh

book 30f τὴν τρόπιν] τὴν ἀρχήν. Lh

book 32 ἐκκλησιάζειν: εἰς ἐκκλησίαν συνάγειν. πρόβατα δὲ VAld

book 32,col 2 ἐν τῇ ἐκκλησίᾳ συναθροίζειν. Lh

book 32 τοὺς Ἀθηναίους φησὶ διαβάλλων τὸ προβατῶδες αὐτῶν (.) VLhAld καὶ ἠλίθιον. Lh

book 33a ὅτι τὸ παλαιὸν βακτηρίας εἶχον διὰ χειρός. R

book 33b παλαιὸν γὰρ ἔθος ἦν τοὺς ἐντίμους γέροντας τριβωνοφοροῦντας ἐκκλησιάζειν μετὰ βακτηρίας. VAld

book 33b,col 2 ἔθος ἦν τοὺς ἐντίμους γέροντας τρίβωνας φοροῦντας ἐκκλησιάζειν καὶ βακτηρίας ἐν ταῖς χερσὶ φέροντας. Lh

book 34 τοῖσι προβάτοις μοὐδόκει: τὸ πλῆρες ”τοῖς Ald προβάτοισί μοι ἐδόκει”· καὶ ἔκθλιψις καὶ κρᾶσις. (35) “φάλαινα” δὲ θηρίον θαλάττιον. “πανδοκεύτρια” δὲ ἡ πάντα δεχομένη καὶ καταπίνουσα ἢ πάντα ἐπιτηροῦσα. VAld κωμῳδεῖ δὲ πανταχοῦ τὸν Κλέωνα σκώπτων VAld

book 34,col 2 πανταχοῦ τὸν Κλέωνα σκώπτει Lh

book 34 ὡς καὶ V ἅρπαγα καὶ πολλὰς μηχανὰς ἐπινοοῦντα εἰς τὸ κερδαίνειν. (36) “ἐμπεπρησμένης” δὲ ἀντὶ τοῦ LhAld ἐμπεφυσημένης VAld [πεφυσημένης Lh] (,) καὶ Ald παχείας VAld· πρῆσαι γὰρ τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φυσῆσαι. καὶ τοῦτο δὲ εἰς VAld [διὰ Lh] τὸ κρακτικὸν τοῦ Κλέωνος· VLhAld πολλαχοῦ γὰρ ὡς τοιοῦτον αὐτὸν διασύρει φάσκων “Κυκλοβόρου φωνὴν (”) αὐτὸν ἔχειν V* [ἔχων” Ald]

book 34,col 2 ἐπεὶ καὶ Κυκλοβόρου φωνὴν ἔχειν αὐτὸν λέγει Lh

book 34 καὶ Παφλαγόνα παρὰ τὸ παφλάζειν τῇ φωνῇ. VLhAld

book 35a φάλλαινα] θηρίον ἐστὶ θαλασσικόν. λέγει δὲ τὸν Κλέωνα. Lh

book 35b πανδοκεύτρια: ἡ Ald πάντα δεχομένη (.) Ald Lh λέγει δὲ τὸν Κλέωνα. Ald

book 35b,col 2 ἐν τῇ γαστρί. Lh

book 36a πεφυσημένης· πρῆσαι γὰρ τὸ φυσῆσαι. ὁ Κλέων ἐχρῆτο φωνῇ χαλεπῇ, καθάπερ καὶ ἑτέρωθι· φωνὴν δ’ εἶχεν χαράδρας ὄλεθρον τετοκυίας. ἦν δὲ καὶ τὴν ὄψιν ἀργαλέος. δοκεῖ δὲ ἀσέμνως οὗτος πρῶτος δημηγορῆσαι. R

book 36b ἐμπεπρησμένης: ἐμπεφυσημένης VAld [πεφυσημένης Lh] (,) καὶ Lh παχείας · πρῆσαι γὰρ τὸ φυσῆσαι VAld· ἔνθεν VAld [ἐξ οὗ Lh] καὶ ὁ V πρηστήρ. VLhAld καὶ Ὅμηρος· πάντων εὔπρηστον ἀυτμὴν ἐξανιεῖσαι. VAld

book 38a βύρσης σαπρᾶς: ὅτι βυρσοπώλης RVVict [βυρσοπώλης γὰρ Lh] ὁ Κλέων. RVVictLh

book 38b σαπρᾶς] παλαιᾶς. Lh

book 39 τρυτάνην] ζυγὸν καὶ V [ἢ Vict] σταθμόν. VVict

book 39col 2 ζυγόν, στάθμην. Lh

book 40a βόειον: τὸ ἀναίσθητον. R

book 40b δημόν] στέαρ. Lh

book 41a τὸν δῆμον ἡμῶν βούλεται: πρὸς τὸ ⟦τὸν⟧ “δημόν” καὶ τὸ “ἵστη” τὸ “διιστάναι” VAld [“διιστάνειν Lh] τὸν δῆμον” Lh ἐπήγαγεν V [ἐπήνεγκεν LhAld], ἀντὶ τοῦ διαχωρίσαι. Vlh Ald

book 41b παρὰ τοὺς τόνους ἔπαιξε μίξας VAld [παίξας Lh] πρὸς τὰ σημαινόμενα· ἄλλως τε δὲ καὶ ἀφ’ ἱστορίας τοῦτό φησιν. καὶ γὰρ πρὸ VAld [πρὸ γὰρ Lh] δύο ἐτῶν τῆς διδασκαλίας τούτου τοῦ δράματος Λακεδαιμονίων περὶ εἰρήνης πρεσβευσαμένων ὁ Κλέων ἀπήλασε τοὺς πρέσβεις. VLhAld

book 41c διιστάνειν] διαχωρίσαι, διαστῆσαι. Lh

book 42a τὸν Θέωρον ὡς κόλακα καὶ μοιχὸν καὶ πονηρὸν κωμῳδοῦσιν. R

book 42b ἐδόκει δέ μοι Θέωρος: οὗτος ὡς κόλαξ κωμῳδεῖται. LhAld

book 43 κόρακος ἔχων: καὶ ὡς ἅρπαγα αὐτὸν σκώπτων VAld

book 43,col 2 νῦν δὲ καὶ ὡς ἅρπαγα αὐτὸν κωμῳδεῖ. Lh

book 43 ἐπήνεγκε τὸ “κόρακος κεφαλὴν ἔχει”. ὁ αὐτὸς δὲ ὡς πονηρὸς καὶ μοιχὸς κωμῳδεῖται. VAld

book 44a Ἀλκιβιάδης: τοῦτον διαβάλλει ὡς τραυλόν. οἱ δὲ τραυλοὶ VAld τὸ λ ἀντὶ τοῦ ρ λέγουσιν VAld [λέγων Lh]. VLhAld

book 44b τραυλίσας] τραυλὸς ὁ τὸ ῥῶ αὔων καὶ φωνῶν λῶ. Lh

book 45 “ὀλᾷς” ἀντὶ τοῦ R ὁρᾷς· “Θέωλος” ἀντὶ τοῦ R Θέωρος· “κόλακος” ἀντὶ τοῦ R κόρακος. RLh

book 46 ὁ τραυλισμὸς τοῦ στίχου εἰς τὸν Θέωρον, ἐπειδὴ προείρηται κόλαξ· ὅτι δὲ Ἀλκιβιάδης τραυλός, δηλοῖ τὸ λ ἀντὶ τοῦ ρ λέγων. V

book 47 ἀλλόκοτον: τερατῶδες, ξένον , ἄτοπον VAld, ἀλλοφυές Ald. ὁ δὲ VAld λόγος· “δεινόν ἐστι τοῦτο VAld τὸ ἐνύπνιον, ὁ Lh Θέωρος γινόμενος κόραξ”. VLhAld

book 49

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἶτ’ ἐγένετ’ ἐξαίφνης: διὰ τοῦτο, φησίν, καλόν, ὅτι ἄνθρωπος ὢν κόραξ ἐγένετο· διὸ καὶ ἐπιφέρει· ἀρθεὶς ἀφ’ ἡμῶν ἐς κόρακας οἴχεται VAld [οἰχήσεται Lh]. VLhAld

book 50a ἐναργὲς] φανερόν. Lh

book 50b συμβαλεῖν] λογίσασθαι, νοῆσαι. Lh

book 51a ἐπίτηδες τοῦτο εἶπεν, ὅπως ἂν τὸ βλάσφημον εὐκαίρως κατ’ αὐτοῦ δόξῃ λέγειν. VLhAld

book 51b ἐς κόρακας] παίζει πρὸς τὸ ὄνομα τοῦ κόρακος. Lh

book 51c οἰχήσεται] φθαρήσεται. Lh

book 53 ὑποκρινόμενον] ἀναπλάττοντα. Lh

book 54 τὴν ὑπόθεσιν τοῦ δράματος. R

book 55a ἀντὶ τοῦ προειπών, ὥσπερ καὶ τὸν προγραμμὸν ὑπογραμμὸν καλοῦσιν. V

book 55a,cod. 2 ὥσπερ τὸν πρόγραμμον ὑπόγραμμον καλοῦσιν, οὕτω καὶ τὸ “ὑπειπὼν” ἐνταῦθα εἴρηται ἀντὶ τοῦ προειπών. Lh

book 55b ὑπειπὼν] προειπών. Lh

book 56 λίαν μέγα] μετριάζων τοῦτό φησιν. Lh

book 57a οἱ μεγαρικοὶ ποιηταὶ ψυχροί τινες ἦσαν καὶ ἄλλως φορτικῶς ἐγελοίαζον. R

book 57b Μεγαρόθεν: ἢ ὡς ποιητῶν ὄντων τινῶν ἀπὸ Μεγαρίδος ἀμούσων καὶ ἀφυῶς σκωπτόντων ἢ ὡς τῶν Μεγαρέων γελώντων καὶ ἄλλως φορτικῶς γελοιαζόντων· μαρτυρεῖ δὲ καὶ Lh Εὔπολις Προσπαλτίοις VAld [λέγων Lh] τὸ σκῶμμ’ ἀσελγὲς καὶ μεγαρικὸν σφόδρα. VLhAld

book 57c κεκλεμμένον] ἀφαιρεθέντα. Lh

book 57d κεκλαμμένον: ἀποσπασθέντα. γράφεται δὲ “κεκλαμμένον” δωρικῶς ἀπὸ μετοχῆς τῆς “κλαπείς”, ὡς “τραφείς”. ὥσπερ οὖν “τεθραμμένον”, οὕτω “κεκλαμμένον” ἔφη. Ald

book 58a φορμίδες ἀγγεῖά τινα πλεκτὰ εἰς σῦκα ἢ ἕτερόν τι τοιοῦτον. R

book 58b ἐκ φορμίδος: φορμὶς κυρίως ἡ ψίαθος, νῦν δὲ ἡ σπυρίς. VAld ὡς τῶν ἄλλων ποιητῶν διὰ ψυχρότητα ποιήσεως διὰ βολῶν καρύων ὑποστελλομένων τὴν κακίαν τοῦ δράματος. VLhAld

book 59a δυϊκόν ἐστιν. R

book 59b δούλω διαρριπτοῦντε] δοῦλοι ῥίπτοντες. VLh

book 60 οὔθ’ Ἡρακλῆς τὸ δεῖπνον: ἐν τοῖς πρὸ τούτου δεδιδαγμένοις δράμασιν εἰς τὸν Ἡρακλέους ἀπληστίαν πολλὰ προείρηται. VAld ποιοῦσι δὲ VAld [εἰσάγουσι πολλοὶ Lh] τὸν Ἡρακλέα [τοῦ V γελοίου χάριν κεκλημένον μὲν Lh εἰς δεῖπνον (,) καὶ VAld δυσχεραίνοντα δὲ Lh διὰ τὸ βραδέως αὐτῷ παρατιθέναι τὰ ὄψα. VLhAld σκώπτει δὲ τὴν Ἡρακλέους ἀπληστίαν καὶ διὰ τούτων. Lh

book 61a οἷον, κατ’ Εὐριπίδην πολλὰ λέξομεν ἀσελγῆ. R

book 61b ἀνασελγαινόμενος: κατακωμῳδούμενος, ὑβριζόμενος. κατ’ αὐτοῦ γὰρ καθῆκε τὰς Θεσμοφοριαζούσας. VAld

book 61b,cod. 2 ὅτι τὰς Θεσμοφοριαζούσας καθῆκε κατὰ τοῦ Εὐριπίδου. Lh

book 61b φησὶν οὖν “οὐ δεύτερον ταυτολογήσω περὶ αὐτοῦ, ὡς οἱ ἄλλοι ποιοῦσιν Lh”. VLhAld

book 61c οὐ μόνον ἐν τούτῳ τῷ δράματι , ὡς εἴρηται, Lh εἰσῆκται οὕτως VAld Εὐριπίδης, ἀλλὰ καὶ ἐν τῷ Προαγῶνι καὶ ἐν τοῖς Ἀχαρνεῦσιν. VLhAld

book 61d ἀνασελγαινόμενος] κατακωμῳδούμενος. Lh

book 62 οὐδ’ εἰ Κλέων γ’ ἔλαμψεν: τοῦτό φησιν ὡς τοῦ Κλέωνος ἀπὸ δυσγενῶν ἐκλάμψαντος (.) VLhAld, ὃν ἐκωμῴδησεν ἐν τοῖς Ἱππεῦσι κατ’ αὐτοῦ καθεὶς τὸ δρᾶμα· καί φησιν “οὐ πάλιν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αὐτὸν κωμῳδήσει ἑτέραν δι’ αὐτὸν κωμῳδίαν ποιούμενος”. VAld (63) “μυττωτεύσομεν” δὲ ἀντὶ τοῦ VAld συντρίψομεν, δριμύζομεν V [δριμύσσομεν LhAld*] , ἐκπικρανοῦμεν VAld. μετενήνεκται δὲ VAld [τὸ “μυττωτεύσομεν” Lh] ἀπὸ τῶν σκορόδων· μυττωτὸς γάρ (γὰρ) ἐστι κυρίως VAld τὸ ἐκ σκορόδων καὶ τυροῦ καὶ ὄξους τρίμμα, ὃ VLh [καὶ Ald] οὕτως VLhAld ὠνομάσθη ἀντὶ τοῦ μυσωτόν τι ὄν, παρὰ τὸ μυσάττεσθαι αὐτοῦ τὴν ὀσμήν, VAld

book 62,col 2 ὠνόμασται, ὡς μυσωτόν τι ὄν, ἀπὸ τοῦ μυσάττεσθαι ἡμᾶς τὴν ὀσμὴν αὐτοῦ, Lh

book 62 καὶ τροπῇ ἀττικῇ τοῦ ς εἰς τὸ V τ καὶ πλεονασμῷ ἑτέρου τ Lh μυττωτός (.) VLhAld, εἴγε καὶ ὁ Καλλίμαχός φησιν· ἵν’ ἐτρίψαντο μυσωτόν. VAld

book 63 “συγκόψωμεν”· ἀπὸ δὲ τοῦ μυττωτοῦ μετενήνεκται· κυρίως δὲ λέγεται τὸ διὰ σκορόδων τρίμμα. R

book 64 ἀλλ’ ἔστιν ἡμῖν λογίδιον: ὑπόθεσις ἔχουσα περιπέτειαν· “λογίδιον” δὲ εἶπε μετριάζων (.) VLhAld· διὸ ἐπιφέρει “ὑμῶν αὐτῶν οὐχὶ δεξιώτερον”. VAld

book 65 ὑμῶν μὲν αὐτῶν] ἀντὶ τοῦ ἧττον VAld [ἔλαττον Lh] τῆς ὑμῶν σοφίας. VLhAld

book 66 φορτικῆς: ἀντὶ τοῦ οἰκτρᾶς. VAld τῆς ὑπ’ ἄλλων λεγομένης, ἐν ᾗ φορτικά τινα εἰσάγουσιν. VLhAld

book 68 ὁ μέγας: οὐ τῇ ἡλικίᾳ, ἀλλὰ τῇ ἐξουσίᾳ καὶ τῇ VAld σεμνότητι. τὸ δὲ “ἄνω” VAld δεικτικῶς φησιν VAld· ἐπὶ ὑπερῴου. VLhAld ὁρᾶται γὰρ ὁ Βδελυκλέων ἐπὶ ὑπερῴου καθήμενος. Ald

book 69 νῷϊν] συνίζησις. Lh

book 70 καθεύδειν] γρ. καθείρξας. Vict Vp3

book 71a νόσον γὰρ ὁ πατὴρ ἀλλόκοτον: ξένην καὶ παρηλλαγμένην αὐτῷ, παρόσον ὁ μὲν φιλόδικος, ὁ δὲ τοῦτο βδελυττόμενος. VAld

book 71a,col 2 ἀλλόκοτόν φησι τὴν νόσον αὐτοῦ, ἤγουν ξένην καὶ παρηλλαγμένην, παρόσον ὁ μὲν πατὴρ φιλόδικός ἐστιν, ὁ δὲ υἱὸς μισόδικος καὶ τοῦτο βδελυττόμενος. Lh

book 71b ἀλλόκοτον] ξένην καὶ παρηλλαγμένην. Lh

book 72 ξυμβάλοι] νοήσει. Lh

book 73 τοπάζετε: εἰκάζετε, Ald ὑπονοεῖτε (.) RAld, φησίν, Ald

book 73,col 2 τοπάζεται] εἰκάζεται, ὑπονοεῖται, Lh

book 73 ποίῳ πάθει ἥττηται. LhAld γράφεται δὲ καὶ ἀπροσώπως “τοπάζεται”. Ald

book 74a φιλόκυβος οὗτος. τινὲς ἀμοιβαῖα· χαριέστερον δὲ λέγεσθαι αὐτὰ συνεχῶς πρὸς ἑνός. ἄδηλον δέ, εἰ καὶ ἐν Νεφέλαις τούτου μέμνηται. R

book 74b Ἀμυνίας μὲν: ὧδε μὲν ὡς φιλόκυβος ὁ Ἀμυνίας LhAld κωμῳδεῖται· ἐν δὲ Σεριφίοις V* Ald* [ἄλλῳ δὲ Lh] Κρατίνου V* ὡς κόλαξ καὶ V ἀλαζὼν καὶ συκοφάντης. VLhAld καὶ κόλαξ. Ald

book 77a ἀλλὰ φιλο μέν ἐστι: ἀντὶ τοῦ εἰπεῖν LhAld ἀρχὴν τοῦ ὀνόματος VAld [“ἀρχὴ τοῦ ὀνόματος” Lh] φησὶ “τοῦ κακοῦ”. VLhAld τὸ φιλο δὲ εἶπεν, παρόσον Φιλοκλέων ἐκαλεῖτο· πεποιημένον δὲ τοῦτο παρὰ τὸ φιλεῖν τὰς Κλέωνος πράξεις· φιλόδικος δὲ οὗτος καὶ συκοφάντης. VAld

book 77b φίλο] φιλόδικος. V

book 78a πρὸς Δερκύλον: οὗτος ὡς κάπηλος ἢ μεθυστής VAld [μέθυσος κωμῳδεῖται. Lh] VLhAld, πρὸς ὃν Σωσίας τις διαλέγεται. VAld

book 78b ὁ VAld Δερκύλος ὑποκριτὴς κωμικός. RVAld δύο δέ εἰσι Σωσίαι, ὁ μὲν Πυθίδος, ὁ δὲ Παρμένωνος. VAld

book 80 αὕτη γε χρηστῶν ἀνδρῶν: ὡς μεθυστὴς ὁ οἰκέτης ἐπαινεῖ τὴν μέθην. VLhAld

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 81 Σκαμβωνίδης: οὗτος Lh ἀπὸ δήμου τῆς Λεοντίδος φυλῆς ὁ Σκαμβωνίδης V. VLhAld ἐπτόητο δὲ οὗτος V [γὰρ ἀεὶ Lh] περὶ τὰς V θυσίας καὶ μαντείας VLh

book 82a φιλοθύτην αὐτὸν: φιλοθύται εἰσὶν οἱ δεισιδαίμονες, καὶ θύουσιν ἀεὶ τοῖς θεοῖς νομίζοντες ἐκ τούτου ἀβλαβεῖς ἔσεσθαι. Ald

book 82b ἢ φιλόξενον: ὁ μὲν πρὸς τὸν ἀγαθὸν τρόπον εἶπε τὸ φιλόξενος VLh [“φιλόξενον” Ald], ὁ δὲ ὡς κύριον ἥρπασεν· καὶ γὰρ ὁ Φιλόξενος ἐκωμῳδεῖτο ὡς πόρνος. καὶ Lh Εὔπολις ἐν Lh Πόλεσιν· ἔστι δέ τις θήλεια Φιλόξενος ἐκ Διομείων. VLhAld καὶ Φρύνιχος Σατύροις . VAld

book 83 μὰ τὸν κύν’ ὦ Νικόστρατε: οὕτως διὰ δεισιδαιμονίαν ὤμνυον. ἢ τάχα VAld μιμεῖται τοὺς φιλοσόφους εἰς κύνα καὶ χῆνα ὀμνύοντας. VLhAld

book 85a ἄλλως φλυαρεῖτ’: ἀντὶ τοῦ VAld “μάτην φλυαρεῖτ’”. VLhAld εἴρηται δὲ ἀπὸ μεταφορᾶς τῶν λεβήτων· ἀπὸ τοῦ φλύειν, ὅ ἐστι καχλάζειν καὶ ἐκ τούτου τὸν ἀφρὸν ἀποβάλλειν. VAld

book 85a,col 2 ἀπὸ μεταφορᾶς τῶν λεβήτων εἴρηται τὸ φλυαρεῖν· φλύειν γὰρ λέγουσι τὸ καχλάζειν ἐκείνους καὶ τὸν ἀφρὸν ἀποβάλλειν. Lh

book 85a καὶ Ὅμηρος· τὰ δ’ ἀνέφλυε καλὰ ῥέεθρα. VLhAld

book 85b ἐξευρήσετε] πρὸς τοὺς θεατάς. Lh

book 88a φιλοδικαστής. ἦσαν δὲ ἡλιασταὶ τὸν ἀριθμὸν φ′· ἐδίδοτο δὲ αὐτοῖς χρόνον μέν τινα δύο ὀβολοί, ὕστερον δὲ Κλέων στρατηγήσας τριώβολον ἐποίησεν ἀκμάζοντος τοῦ πολέμου τοῦ πρὸς Λακεδαιμονίους. R

book 88b φιληλιαστής: φιληλιαστής ἐστιν, φησίν, Lh ἀντὶ τοῦ φιλόδικος ἀπὸ τοῦ μεγίστου δικαστηρίου, τῆς Ἡλιαίας, ὅπερ οὕτω καλεῖται , ὡς προείρηται, Lh διὰ τὸ ἐν ὑπαιθρίῳ VAld [ὑπαίθρῳ Lh] εἶναι καὶ ἡλίῳ βάλλεσθαι. VLhAld

book 88c φιληλιαστής] ἀντὶ τοῦ φιλόδικος. Lh

book 90a ἢν μὴ ’πὶ τοῦ πρώτου: ξύλον, R ὃ ἡμεῖς βάθρον· καὶ ἐν Ἀχαρνεῦσιν ἐλθόντες ἀλλήλοισι VAld περὶ πρώτου ξύλου. RVAld

book 90b τοῦ πρώτου] ἤγουν τῆς πρώτης καθέδρας. Lh

book 91a πασπάλην: τὸ τῆς κέγχρας ἄλευρον· τιθέασι δὲ καὶ ἐπὶ τοῦ τυχόντος. R

book 91b πρὸς Λυκόφρονα, ὅτι ἀδιορίστως ἀποδέδωκεν V [ἀπέδωκεν Ald] ἐλάχιστόν τι. τινὲς δέ φασιν, ὅτι μαγνῆτιν κέγχρον V [πέτρον Ald] πασπάλην φασίν. VAld

book 91c οὐδὲ πασπάλην: ἀντὶ τοῦ οὐδὲ βραχύ. LhAld ἔστι δὲ τὸ λεπτότατον τοῦ ἀλεύρου. Lh

book 92a κἂν ἄχνην: ἄχνη ἐστὶ Lh τὸ λεπτομερὲς τοῦ στάχυος· καὶ Ὅμηρος ὡς δ’ ἄνεμος ἄχνας φορέει ἱερὰς κατ’ ἀλωάς. LhAld οἱ δὲ καὶ τὸ λεπτότατον τοῦ ἀλεύρου ἄχνην λέγουσιν. Lh

book 92b ἄχνην] ἤγουν λεπτόν τι καὶ βραχύ. Lh

book 93a περὶ τὴν κλεψύδραν: ἀντὶ τοῦ περὶ τὸ δικαστήριον· κλεψύδρα γὰρ ἀγγεῖον τετρημένον, ἐν ᾧ ὕδωρ ἔβαλλον καὶ εἴων ῥεῖν ἄχρι τινὸς V [τῆς Ald] ὀπῆς, καὶ οὕτως ἔπαυον τὸν ῥήτορα. τοῦτο δὲ ἐποίουν διὰ τὸ φλυαρεῖν τὸν λέγοντα καὶ ἐμποδίζειν ἄλλοις θέλουσι λέγειν, ἵνα τὰ σπουδαῖα λέγων V [λέξας Ald] ἐξέλθῃ. VAld

book 93b ὅπως κλεψύδρα τὸ δικαστήριον ὠνόμασται, εἴρηται ἐν τῷ δράματι τῶν Ἀχαρνέων· ὅτι ἀγγεῖόν τι ἐτίθετο ἐν τῷ δικαστηρίῳ πεπληρωμένον ὕδατος ὀπὴν ἔχον περὶ τὸν πυθμένα, ἐξ ἧς εἴων ῥεῖν τὸ ὕδωρ, ὅτε παρέστη ῥήτωρ τις λέγειν. ῥύσαντος δὲ ὅλου τοῦ ὕδατος ἀπέπαυον τὸν ῥήτορα φιλοτιμούμενον πλείω λέγειν· τοῦτο δὲ ἐποίουν διὰ τὸ φιλοτιμεῖσθαι πολλάκις τοὺς ῥήτορας περιττολογεῖν καὶ ἐμποδίζειν ἄλλοις θέλουσι λέγειν, ὡς ἂν τὰ σπουδαῖα λέγοντες ἐξέλθοιεν, μέχρις ἂν καὶ τὸ ὕδωρ ἐκχυθῇ. ἐκ τούτου οὖν κλεψύδρα τὸ δικαστήριον εἴρηται. Lh

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 93c περὶ τὴν κλεψύδραν] περὶ τὸ δικαστήριον. Lh

book 95 τοὺς τρεῖς ξυνέχων: τούτοις VAld [οὕτω Lh] γὰρ κατέχουσι τὰς ψήφους οἱ δικασταί(αὶ) τοῖς τρισὶ δακτύλοις Lh· τῷ μεγάλῳ (,) καὶ VAld τῷ λιχανῷ VAld [λειχανῷ Lh] καὶ τῷ μέσῳ. VLhAld

book 96 νουμηνίᾳ: κατὰ νουμηνίαν γὰρ ἔθος εἶχον λιβανωτοὺς VAld [λιβανωτὸν Lh] ἐντιθέναι τοῖς ἀγάλμασιν. VLhAld

book 98a τὸν Πυριλάμπους: μέμνηται τούτου καὶ Εὔπολις ἐν Πόλεσιν καὶ τῷ Πυριλάμπους ἆρα Δήμῳ κυψέλη ἔνεστιν. ἦν δὲ καὶ εὔμορφος ὁ Δῆμος. ἐπέγραφον δὲ οἱ Ἀθηναῖοι τὰ τῶν καλῶν ὀνόματα οὕτως· “ὁ δεῖνα καλός”. VAld ἔγραφον δὲ καὶ ἐν τοίχοις καὶ ἐν θύραις καὶ ὅπου τύχῃ. Ald (99) καὶ οὗτος, φησίν, ὡς ἐρωμένου ἑαυτοῦ V [ἐρῶν Ald] τοῦ κημοῦ ἔγραφε V [ἔγραψε Ald] “Κημὸς καλός”. VAld

book 98b Δῆμον καλόν] ὅτι εὔμορφος ἦν ὁ Δῆμος. Lh

book 99a κημός ἐστι πλέγμα τι, δι’ οὗ τὴν δικαστικὴν ψῆφον καθίεσαν. (98) Πυριλάμπους δὲ υἱὸς ἦν Δῆμος ὄνομα, τὴν ὥραν κάλλιστος. ἔθος δὲ ἦν τοῖς ἐρασταῖς ἐπιγράφειν πανταχου τὸ τῶν παιδικῶν ὄνομα. R

book 99b Κημὸς καλός: κημὸς καλεῖται τὸ τοῖς καδίσκοις ἐπιτιθέμενον, δι’ οὗ τὰς ψήφους καθίεσαν, ἵνα μὴ [ὀλισθάνωσιν V [ὀλισθαίνωσιν Ald]. ἔστι δὲ πλέγμα τι δικτυῶδες καὶ ἠθμῶδες ἄνωθεν πλατύ, κάτωθεν στενόν. VAld

book 99c πλησίον ... καλός] πλέγμα τι ὁ κημὸς ἐπικείμενον τῷ κάδῳ, δι’ οὗ τὰς ψήφους καθίεσαν. Lh

book 99d ἔθος ἦν, ὡς καὶ ἐν Ἀχαρνεῦσιν εἴρηται, γράφειν τοὺς ἐραστὰς τὰ τῶν ἐρωμένων ὀνόματα ἐν τοίχοις τε καὶ ἐν δένδροις καὶ φύλλοις δένδρων καὶ ἔνθα ἂν τύχοι, ὡς ἂν ψυχαγωγοῖεν τὸν ἔρωτα. ἔγραφον δὲ οὕτως· “ὁ δεῖνα καλός”· καὶ οὕτω φησίν· ὡς ἐρῶν τοῦ κημοῦ ἰὼν παρέγραφε “Κημὸς καλός”. περὶ δὲ τοῦ κημοῦ εἴρηται ἐν Ἱππέων δράματι. Lh

book 101 ὄψ’ ἐξήγειρεν: ἐν ὑπερβολῇ τοῦτο. VAld ἐμέμφετο γὰρ VAld τῷ ἀλέκτορι VAld [ἀλεκτρυόνι Lh], φησίν, καὶ ταῦτα ἑσπέρας κράζοντι VAld [κράζοντος Lh], ὡς VLh [ὅτι Ald] βραδέως αὐτὸν ἐγείρει. VLhAld

book 102 ὑπευθύνων] τῶν δικαζομένων. VVictLh

book 103a διὰ τὸ φιλοδικαστὴς εἶναι οὐ καθεύδει, φησίν, ἐν τῷ οἴκῳ αὐτοῦ μετὰ τὸ δειπνῆσαι, ἀλλ’ εὐθὺς ἀναστὰς ἀπὸ τῆς τραπέζης καὶ ζητήσας τὰς ἐμβάδας καὶ ὑποδησάμενος ἀπέρχεται ἐν τῷ δικαστηρίῳ καὶ καθεύδει. LhAld

book 103b ἀπὸ δορπηστοῦ: Λυκόφρων· ἀπὸ ἀρίστου, οἱ δὲ ἄλλοι πάντες δόρπα τὰ δεῖπνα. VAld

book 103c δορπηστοῦ] ἀπὸ τοῦ Lh δείπνου. VLh

book 103d κέκραγεν] ἤγουν ζητεῖ. Lh

book 103e ἐμβάδας: εἶδος ὑποδήματος. VLhAld

book 104a ἐκεῖσ’] ἐν τῷ δικαστηρίῳ. VLh

book 104b προκαθεύδει] προκαθίζων ὑπνώττει. Lh

book 104c πρωῒ πάνυ: ἀντὶ τοῦ πρὸ τοῦ VAld δέοντος καιροῦ (.) VLhAld ἀπιὼν ἀπονυστάζει ἐπιπίπτων τῷ κίονι. VAld

book 104d πρῷϊ] συνίζησις. Lh

book 105 κογχύλιόν τι ταῖς πέτραις προσπηγνύμενον. VLhAld

book 106a εἰώθασιν οἱ καταδικάζοντες ἐν τῷ γραμματιδίῳ μακρὰν γραμμὴν ἕλκειν. R

book 106b

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τιμῶν τὴν μακρὰν: προείρηται ὑπὲρ τοῦ τοὺς δικαστὰς ἐν πινακίῳ VAld ἤτοι ἐπὶ σανίδος κηρῷ ἀληλιμμένης Ald, ὁπότε καταλαμβάνοιέν ποτέ V τινα τῷ τολμήματι, ἕλκειν μακρὰν γραμμήν, ὁπότε δὲ ἀπολύοιεν, βραχεῖαν· καὶ ἑξῆς δότε μοι ξίφος ὅπως τάχιστ’ ἢ πινάκιον τιμητικόν. τοῦτο δὲ ἐποίουν μετὰ τὸ ἀποβλέψαι εἰς τὰς ψήφους τὰς ἐν τῇ κάλπιδι· εἰ γὰρ ἑώρων τὰς μελαίνας πλείους, ἐχάραττον τῷ ὄνυχι τὴν μακράν, εἰ δὲ τὰς λευκάς, τὴν βραχεῖαν. VAld

book 106c τῶν ψήφων, ἃς καθίεσαν οἱ δικασταὶ ἐν τοῖς κημοῖς, αἱ μὲν ἦσαν λευκαί, αἱ δὲ μέλαιναι. ἑώρων οὖν οἱ δικασταὶ καί, εἴπερ πλείους ἦσαν αἱ μέλαιναι, ἐχάραττον τῷ ὄνυχι μακρὰν γραμμὴν ἐπὶ σανίδος κειμένης καὶ ἀληλιμένης ἐν κηρῷ, εἰ δὲ αἱ λευκαί, μικράν. ὅτε μὲν οὖν αἱ ψῆφοι ἴσαι ἐγένοντο, ἀπελύετο ὁ φεύγων, εἰ καὶ ἐν Βατράχοις φησίν· “ὡς ἀπολεῖται, / κἂν ἴσαι γένωνται.” lt ὅτε δὲ πλείους ἦσαν αἱ λευκαί, ὁ διώκων ἐνίκα, ὁ φεύγων δέ, κἂν lt [δ’, ἢν Ald] πλείους , κἂν ἐλάττους ἦσαν lt αἱ μέλαιναι, κατεκρίνετο. ltAld

book 107a ποιοῦσιν οἱ βομβύλιοι κηρία. R

book 107b βομβύλιος: ζῷον μελίττῃ ὅμοιον · καὶ ὅτι VAld κηρὸν καὶ αὐτὸ Lh ποιεῖ VAld [ποιοῦν Lh]. VLhAld

book 108a ὑποπεπλασμένος: πεπληρωμένος τοὺς ὄνυχας κηροῦ ὑπὸ τῶν χαραγμάτων. VLhAld

book 108b γρ. καὶ Vict “ἀναπεπλασμένος.” Vict Ald

book 110a παίζει· ἀντὶ τοῦ “ἔχει”. R

book 110b αἰγιαλὸν ἔνδον ἔχων: ὡς ἐπὶ ζῴου ἔφη τὸ τρέφειν V [“τρέφει” LhAld], οἷον VAld [ἤγουν Lh] ἐγέμισε τὴν οἰκίαν ψήφων (.) VLhAld, ὡς δοκεῖν αἰγιαλὸν εἶναι αὐτὴν ψάμμου γέμοντα. Lh

book 111 νουθετούμενος δ’ ἀεὶ: παρὰ τὰ Εὐριπίδου VAld ἐκ Σθενεβοίας Εὐριπίδου Lh (.) VLhAld τοιαῦτ’ ἀλύει· νουθετούμενος 〈δ’〉 ἔρως. VAld

book 116 τριβώνιον: ὃ οἱ δικασταὶ φοροῦσιν. Vict

book 119 ἐκορυβάντιζεν: ὡς μαινόμενος καὶ κατεχόμενος ὑπὸ θείου. VAld ἀντὶ τοῦ VAld τὰ τῶν Κορυβάντων ἐποίει αὐτῷ μυστήρια ἐπὶ καθαρμῷ τῆς μανίας. VLhAld

book 120a ἀΐξας] συνίζησις. Lh

book 120b ὅτι πλεῖστα ἦσαν δικαστήρια Ἀθήνησιν. R

book 120c εἰς τὸ Καινὸν ἐμπεσών: τόπος ἐν τῷ δικαστηρίῳ οὕτω λεγόμενος. VAld εἰσὶ δὲ δ′· Παράβυστον, Καινόν, Τρίγωνον, Μέσον. τελούμενος οὖν, φησίν, τὰ μυστήρια τῶν Κορυβάντων, VAld

book 120c, col. 2 ἐν τῷ δικαστηρίῳ τόποι ἦσαν τέσσαρες, ὧν ὁ μὲν ἐκαλεῖτο Παράβυστον, ὁ δὲ Καινόν, ὁ δὲ Τρίγωνον, ὁ δὲ Μέσον. lt φησὶ γοῦν, ὅτι τελούμενος τὰ τῶν Κορυβάντων μυστήρια, Lh

book 120c παρ’ οὐδὲν αὐτὰ θέμενος, κατέχων τὸ τύμπανον ὥρμησεν εἰς τὸ δικαστήριον. VLhAld

book 120d ἐς τὸ Καινὸν] τόπος ἐν τῷ δικαστηρίῳ οὕτω λεγόμενος. Lh

book 121 τελεταῖς] ἐπινοίαις. VictLh

book 122 εἰς Αἴγιναν] ἐκεῖ γὰρ Ald Lh ἱερόν ἐστιν. Ald

book 122, col. 2 ἦν Ἀσκληπιοῦ ἱερόν. Lh

book 123 κατέκλινεν αὐτὸν] ὡς νοσοῦντα οὖν ἐκεῖ Ald [αὐτὸν ἐκεῖσε Lh] ἔφερεν. Ald Lh

book 124a ὅδ’] ὁ πατήρ. Lh

book 124b κιγκλίδες αἱ θύραι τοῦ δικαστηρίου. R

book 124c ἐπὶ τῇ κιγκλίδι: ἀντὶ τοῦ “ἐν τῷ δικαστηρίῳ ὁ πατήρ.” VAld κιγκλὶς γὰρ VAld [λέγεται Lh] ἡ θύρα τοῦ δικαστηρίου, ἣν καὶ καγγελωτὴν VLh [καγκελωτὴν Ald] καλοῦσιν. VltAld λέγεται δὲ

ἀπὸ μέρους τὸ δικαστήριον. Lh κνεφαῖος δὲ VAld ἔτι σκότους ὄντος καὶ μήπω γενομένης VAld [λαμψάσης Lh] ἡμέρας (.) VLhAld, ὅτε ἐν τῷ δικαστηρίῳ ἀπῆλθεν. VAld

book 125a ἐντεῦθεν οὐκ ἔτ' αὐτὸν: ἀπ' ἐκείνου τοῦ χρόνου, μετὰ ταῦτα. LhAld

book 125b ἐξεφρείομεν: ἐξεφέρομεν. LhAld

book 126a ἐξεδίδρασκε] ἐξέφυγεν. Lh

book 126b ὑδρορροῶν: οἱ κοῖλοι τόποι VAld [τῶν τόπων Lh], δι' ὧν χωρεῖ VAld [ἐξέρχεται Lh] τὸ ὕδωρ τὸ ἐξ ὑετῶν V [ὑετοῦ LhAld]. VLhAld

book 128a ἐνεβύσαμεν: ἐπληρώσαμεν , ἐφράξαμεν Ald· Ὅμηρος νήματος ἀσκητοῖο βεβυσμένον. VAld

book 128b ἐνεβύσαμεν] ἐνεφράξαμεν. Lh

book 128c κἀπακτώσαμεν: ἐφράξαμεν, ἐπληρώσαμεν. VAld

book 128d κἀπακτώσαμεν] ἤγουν ἐσφηνώσαμεν· Lh πακτῶσαι γὰρ λέγουσι Lh τὸ σφηνῶσαι. LhAld

book 129a ὡσπερεὶ κολοιὸς: τοῖς γὰρ ἐν τῷ οἴκῳ κολοιοῖς καὶ τοῖς ἄλλοις ὀρνέοις Ald πηγνύουσι πάτταλον, ἵνα εἰς αὐτοὺς ἅλλοιντο. VAld

book 129b ἔθος ἦν τοῖς ἐν τῷ οἴκῳ ἀναστρεφομένοις κολοιοῖς καὶ τοῖς ἄλλοις ὀρνέοις παττάλους πηγνύειν ἐν τοῖς τοίχοις, ὡς ἂν εἰς αὐτοὺς ἅλλοιντο. φησὶ γοῦν, ὅτι καὶ οὗτος, οἷα κολοιός, ἑαυτῷ παττάλους ἐπήγνυεν, ἵνα διὰ τούτων ἐκπηδήσῃ τῆς αὐλῆς. Lh

book 130 εἶτ' ἐξήλλετο] ἐπ' αὐτοὺς ἀνέβαινεν. Lh

book 133 Φιλοκλέων: ἰδίως εἶπε τῇ φράσει τῷ μὲν Lh υἱῷ ὄνομα Βδελυκλέων (,) καὶ VAld τῷ δὲ Lh πατρὶ ὄνομα Φιλοκλέων. VLhAld

book 135a ἔχων τρόπους: ἀντίπτωσίς ἐστιν· εὐθεῖα γάρ ἐστιν V ἀντὶ δοτικῆς τῆς "ἔχοντι". VAld

book 135b σύνθετον παρὰ τὴν ὀφρῦν καὶ τὸ φρύαγμα καὶ τὸ σεμνόν. R

book 135c συνήθως VAld ἀπὸ τοῦ ὀφρῦς VAld [ὀφρύς Lh] ἢ φρύαγμα καὶ τοῦ Lh σεμνὸν ἀντὶ τοῦ VAld [τὸ Lh] ὑπερήφανον. VLhAld

book 136 καθεύδετε: ἐν ἀπειλητικῇ φωνῇ τοῦτό φησιν. LhAld

book 139a εἰς τὸν ἰπνὸν: ἰπνὸς κυρίως ἡ κάμινος. VAld Αἰσχύλος· ἰπνούμενος ῥίζαισιν αἰτναίαις ὕπο. Ald νῦν δὲ τὸ μαγειρεῖόν φησιν, ἐν ᾧ λαθὼν αὐτοὺς ὁ Φιλοκλέων εἰσῆλθε καὶ εἰς τρύπην ὑπέδυ. VAld

book 139b ἰπνὸν λέγει νῦν τὸ μαγειρεῖον, ἐν ᾧ (a3) ... (a3) εἰσῆλθε καὶ εἰς ὀπήν τινα ὑπέδυ. ἰπνὸς δὲ λέγεται κυρίως ὁ φοῦρνος· οἱ δέ φασι τὸ φανάριον. μέμνηται τούτου καὶ ἐν Πλούτῳ λέγων ὁ δ' ἰπνὸς ἐξαπίνης ἐλεφάντινος. οἱ δέ φασιν αὐτὴν τὴν κάμινον· καὶ Αἰσχύλος· ἰπνούμενος ῥίζαισιν αἰτναίαις ὕπο. Lh

book 139c τὸν ἰπνὸν] τὸ μαγειρεῖον. Lh

book 140a μυσπολεῖ: καταδύεται, ὡς μῦς φοιτᾷ· οὕτως οἱ V Ἀττικοὶ ὑπὸ μίαν λέξιν. VLhAld

book 140b μυσπολεῖ: πρὸς τὴν λέξιν, ὅτι ἀπὸ τῶν μυῶν ἔοικεν ὠνοματοπεποιῆσθαι τὸ διερευνᾶσθαι κρυφᾷ V [κρύφα Ald]. VAld

book 141a ἐν τῷ αὐτῷ εἶχον καὶ τὴν πύελον καὶ τὸ λουτρόν. R

book 141b κατὰ τῆς πυέλου: αἱ γὰρ πύελοι , αἱ λεγόμεναι γοῦρναι, Lh τρώγλας VAld [ὀπὰς Lh] εἶχον VLhAld ἐπὶ τῇ ὁδῷ πρὸς τὸ τὸ ὕδωρ ἐξέρχεσθαι. VAld

book 141b, col. 2 ἐπὶ τῷ ἐξέρχεσθαι τὸ ὕδωρ ἐν τῇ ὁδῷ. Lh

book 141c ἡ πύελος ἔχει τρώγλην, δι' ἧς ἀπολουόμενοι ἐκχέουσι τὸ θερμόν. παίζει δὲ καὶ τοῦτο ὡς ἐπὶ μυός. VAld

book 142a σὺ ... πρόσκεισο] τοῦτό φησιν ὁρῶν τὸν Φιλοκλέωνα ἐκ τῆς καπνοδόχης ἐξερχόμενον. Lh

book 142b ταῦτ’ ὦ δέσποτα] ὑπάρχει· ἤγουν ταῦτα ποιῶ. Lh

book 143a κάπνη: ἡ καπνοδόχη· ἔστι δέ τι σωληνοειδὲς ἐπὶ τῶν μαγειρείων, δι’ οὗ ὁ καπνὸς ἔξεισιν. ὡς οὖν τοῦ Φιλοκλέωνος πειρωμένου δι’ αὐτῆς ἐξελθεῖν καὶ κτύπον ποιήσαντος τοῦτό φησιν. ταῦτα δὲ πάντα κωμικά εἰσι V [ἐστι Ald] τοῦ γελοίου χάριν. VAld

book 143b κάπνη ἐστὶν ὁ ἐν τῇ στέγῃ τοῦ μαγειρείου σωληνοειδὴς αὐλός, δι’ οὗ ὁ καπνὸς ἐξέρχεται, ἤγουν ἡ κοινῶς καπνοδόχη. ταῦτα δὲ πάντα γελοίου χάριν εἰσάγει κωμικῷ ἔθει. Lh

book 143c κάπνη] ἡ κοινῶς καπνοδόχη. Lh

book 143d ψοφεῖ] ψόφον ποιεῖ. Lh

book 145a συκίνῳ: ὅτι καὶ οἱ δικασταὶ δριμύτατοι καὶ ὁ γέρων· καπνοποιὸν γὰρ τὸ σύκινον ξύλον. VAld

book 145b ὅτι ὁ ἐκ τῶν συκίνων ξύλων καπνὸς δριμύτατος, Ald

book 145b, col. 2 ὅτι πολύν τινα καπνὸν ἀποτελεῖ τὸ τῆς συκῆς ξύλον καὶ δριμύτατον, Lh

book 145b καὶ Ἀριστοτέλης φησὶν Ald ἐν τοῖς Lh Προβλήματι Ald [Προβλήμασιν Lh] εἴρηκεν Lh. Ald Lh

book 146 δριμύτατος καπνῶν] τοῦτο λέγει, ὅτι καὶ οἱ δικασταὶ δριμύτατοι καὶ οἱ γέροντες ἀσθενεῖς καὶ ὀξύχολοι. Lh

book 147a οὐκ ἐσερρήσεις γε: ὡς ἂν VAld [ἐν Lh] τῷ καπνῷ φησιν· VLhAld “οὐκ εἰσελεύσῃ (.) RAld [εἰσελεύσει V, Lh?] μετὰ φθορᾶς”. VLhAld

book 147b ποῦ ’σθ’ ἡ τηλία: τηλία σανίς ἐστι βαθεῖα, εἰς ἣν V [ἐν ᾗ LhAld] τὰ ἄλφιτα τιθέντες Lh ἐν τῇ ἀγορᾷ VAld [ἐπὶ τῆς ἀγορᾶς Lh] ἐπίπρασκον. VLhAld τῇ κάπνῃ βούλεται ἐπιθεῖναι πῶμα τὴν τηλίαν. Ald

book 147b, col. 2 βούλεται δὲ ταύτην ἐπιθεῖναι τῇ κάπνῃ καὶ ἀσφαλίσαι αὐτήν. Lh

book 147c ἡ τηλία] σανὶς βαθεῖα, ἐν ᾗ τὰ ἄλφιτα τίθενται. Lh

book 148a δύου] εἰσέρχου. Lh

book 148b φέρ’ ἐπαναθῶ σοι καὶ ξύλον: οὐ τῷ πατρὶ ταῦτα λέγει, ἀλλὰ τῇ κάπνῃ· ἢ πρὸς τὴν τηλίαν, ἵνα ἐπιθῇ αὐτῇ ξύλον εἰς βάρος διὰ τὰς τοῦ πατρὸς μηχανάς. VAld

book 148c φέρ’ ... ξύλον] τῇ τηλίᾳ βούλεται ἐπιθεῖναι καὶ ξύλον εἰς βάρος. Lh

book 149 ἐνταῦθα νῦν: ἀποκλείσας τὴν διέξοδον τοῦ μὴ δυνηθῆναι αὐτὸν ἐξελθεῖν Lh [εἰσελθεῖν Ald] ταῦτά φησιν. LhAld

book 151a παίζει. R

book 151b ὅστις πατρὸς νῦν Καπνίου: τὸν ὑπεκλυόμενον οἶνόν φασί τινες καπνίαν (.) RVAld οἱ δὲ R

book 151b, col. 2 λέγεσθαι· ἐν δὲ τοῖς περὶ Κρατίνου διώρισται, ὅτι VAld

book 151b τὸν ἀπόθετον ἢ VAld καὶ παλαιόν. RVAld διὸ καὶ Ἐκφαντίδην Καπνίαν καλοῦσιν. VAld

book 151c ἅμα πρὸς τὸ V* [καὶ τῷ Ald] καπνῷ εἰκακέναι ἑαυτόν· εἶπε γὰρ “καπνὸς ἐγώ”, ἅμα δὲ καὶ κάπνη εἶδος ἀμπέλου ξηρότατον καὶ δριμύτατον οἶνον ποιούσης, ὁμοίως καπνῷ ποιοῦντα δάκρυα. VAld

book 151d τινὲς δὲ καπνίαν οἶνον ἐν Βενεβεντῷ τῆς Ἰταλίας γίνεσθαί φασι· καὶ καπνία ἡ ἄμπελος. (ex Su. s.v. Καπνίας οἶνος, III 29, 10sq.).

book 151e νυνὶ κτλ.] τοῦτο λέγει, ἐπειδὴ καπνὸν ἑαυτὸν ὠνόμασεν ὁ Φιλοκλέων ἄνω. Lh

book 151f

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φασίν, ὅτι ἐστὶ καὶ κάπνη (c2) . .. (c3) οἶνον ποιοῦσα, ὃς εἰς δάκρυα τοὺς πίνοντας κινεῖ δριμύν τινα καπνὸν ἀναπέμπων. διὰ τὸ ὀξύχολον οὖν τοῦ γέροντος Καπνίου πατρός φησιν ἑαυτὸν κεκλήσεσθαι. Lh

book 152 νιν] αὐτήν. Lh

book 153 ἐνταῦθ’ ἔρχομαι] πρὸς τὴν θύραν, ἵνα αὐτὴν τηρήσω V [αὐτὸν ἐπιτηρήσω Lh]. VLh

book 155a βάλανον: τὸν μοχλόν. LhAld

book 155b κυρίως δὲ τὸ εἰς τὸν μοχλὸν (4) ... (6) κεκλείδωται. καὶ βαλανάγρα (3) ... (3) βάλανον. (ex Su. s.v. βαλανάγρα, I 450, 3—6)

book 155c ἐκτρώξεται: ἀντὶ τοῦ τὸν μοχλὸν φύλαττε, ὅπως μὴ τὸ κλεῖθρον φαγὼν ἐξέλθῃ. VAld

book 155d ἐκτρώξεται] καταφάγοι καὶ ἐξέλθοι. Lh

book 157a Δρακοντίδης: πονηρὸς ἦνLh οὗτος (.) RVAld ὁ Δρακοντίδης Lh καὶ πλείσταις καταδίκαις ἐνεχόμενος, ὡς Πλάτων ἐν Lh Σοφισταῖς φησίν Lh. Καλλίστρατος δὲ ἕνα τῶν λ′ φησίν, εἰ μὴ ὁμώνυμος εἴη Lh. ἔστι γὰρ VAld [δὲ Lh] οὗτος ὁ καὶ VLh [τὸ Ald] περὶ τῶν λ′ ψήφισμα περὶ ὀλιγαρχίας γράψας, ὡς Ἀριστοτέλης ἐν Πολιτείαις. VLhAld

book 157b Δρακοντίδης] πονηρὸς οὗτος καὶ πλείσταις κακίαις ἐνεχόμενος. Lh

book 163 λείπει ἔσῃ. R

book 164 ὀδὰξ τὸ δίκτυον: νῦν πάλιν διὰ τοῦ δικτύου φαίνεται ἄνω παρὰ τὴν καπνοδόχην. RVAld

book 165 ἀλλ’ οὐκ ἔχεις ὀδόντας: ἔπαιξεν VAld [παίξει ἐνταῦθα Lh], ἐπεὶ γέρων ἦν· οἱ δὲ γέροντες ἀποβάλλουσι τοὺς ὀδόντας (.) VLhAld τῷ χρόνῳ. Lh

book 167a εἰς ὃ ἐτίμων καὶ τὰς μακρὰς λεγομένας εἷλκον· ἐν τοῖς ἐπάνω. R

book 167b τιμητικόν: καταδικαστικόν· ὅπου τὴν μακρὰν χαράσσοντες κατεδίκαζον, ἢ τὴν μικρὰν καὶ ἀπέλυον. VAld

book 167c εἴρηται, ὅτι σανίς τις ἔκειτο ἐν τῷ δικαστηρίῳ ἀληλιμένη κηρῷ, ἐν ᾗ τὴν μακρὰν ἐχάραττον γραμμὴν καὶ κατεδίκαζον, ἢ τὴν μικρὰν καὶ ἀπέλυον. Lh

book 167d παρὰ τὴν τιμωρίαν. V

book 167e τιμητικὸν] δικαστικόν. Lh

book 169 ἀποδόσθαι: πωλῆσαι. LhAld

book 170a αὐτοῖσι] λείπει ἡ Vict σύν. VictLh

book 170b τὰ ἐπιτιθέμενα αὐτῷ κανθήλια. R

book 170c κανθηλίοις: ὄνοις μεγάλοις. Ξενοφῶν· ὅτι ἐν Βαβυλῶνι (10) ... (11) ἀπὸ βάρους ... (15) γενέσθαι πρόβλημα. (ex Su. s.v. κανθήλιος, III 26, 9—15)

book 171 νουμηνία γάρ ἐστιν: ἔθος ἦν Ἀθήνησιν ἐν νουμηνίᾳ πιπράσκειν. LhAld

book 173 τὸν ὄνον ἔξαγε: τοῖς οἰκέταις V [πρὸς τὸν οἰκέτην LhAld] φησίν. VLhAld

book 174a εἷς τῶν οἰκετῶν. R

book 174b καθῆκεν] ὑπέβαλεν. VLh

book 174c εἰρωνικῶς] πανούργως. V

book 175a ἀλλ’ οὐκ ἔσπασεν: οὐκ ἐπέτυχεν RLh [ἔτυχεν VAld]. RVLhAld

book 175b παρὰ τὴν παροιμίαν RVLhAld εἴρηκε τὸ “οὐκ ἔσπασεν” ἀντὶ τοῦ οὐκ ἐπέτυχεν, ἥτις φησίν Lh αὕτη μὲν ἡ μήρινθος οὐδὲν ἔσπασεν. RVltAld ἐλέγετο δὲ ἐπὶ τῶν πειρᾷ VAld καθιέντων VLhAld καὶ ἀποτυγχανόντων (.) VTaur τῶν σπουδαζομένων. Taur

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 175b, col. 2 ἄγκιστρον μετὰ σχοίνου καὶ μὴ ἐπιτυγχανόντων ἰχθύος τινός. LhAld

book 176 ταύτῃ] τῇ προφάσει. VLh

book 178 παρακύψῃ πάλιν] φυλαττόμενος ὑπ' ἐμοῦ (.) VictLh δῆτα. Vict

book 179a κάνθων] ὑποκοριστικῶς ὁ ὄνος. VVictLh

book 179b κάνθων τί κλάεις: ὡς βαρυνομένου τοῦ ὄνου φησὶ τὸ "τί κλαίεις" Lh· ἔφερε γὰρ τὸν γέροντα ὑποκρεμασθέντα λάθρᾳ LhAld κατὰ μίμησιν τοῦ LhAld Ὀδυσσέως VLhAld ὑπὸ τοῦ κριοῦ φερομένου (.) VAld

book 179b, col. 2 ὃς ὑπὸ τὴν κοιλίαν ἑαυτὸν ἐκρέμασε τοῦ κριοῦ, Lh

book 179b ἐφ' ᾧ τε Ald διαδρᾶσαι θέλων Lh τὸν Κύκλωπα, ὅτε τὰ πρόβατα ἐξῆγε τοῦ σπηλαίου ἐφαπτόμενος αὐτῶν τῆς ῥάχεως πρὸς τῇ θύρᾳ τοῦ σπηλαίου καθήμενος, ἵνα μὴ λαθὼν ἐξέλθῃ κύπτων ὁ Ald Ὀδυσσεύς. LhAld τοῦτο δὲ λαθὼν ἐποίησεν ὁ γέρων· διὸ πρὸς βαρυνόμενόν φησι τὸν ὄνον. VAld

book 183 ἴδωμαι] ἀντὶ τοῦ ἴδω. Lh

book 184 Οὔτις νὴ Δία: ὅτι καὶ V ὁ Ὀδυσσεὺς Οὔτις παρ' Ὁμήρῳ ἐκαλεῖτο. VAld

book 185a Ἴθακος] ὅτι Ἰθακήσιος ὁ Ὀδυσσεύς. Lh

book 185b ἀπὸ Δρασιππίδου: πέπλακε (ν) τὸ VAld ὄνομα ἀπὸ τοῦ ἀποδρᾶσαι (,) VLhAld ὥσπερ ἀπὸ φυλῆς ἢ ἀπὸ γένους φάσκων. VAld

book 185b, col. 2 διὰ τὸ μηχανᾶσθαι αὐτὸν ἀποδρᾶσαι· λέγει δὲ τοῦτο, ὥσπερ εἰ ἀπὸ γένους ἢ φυλῆς ὠνόμαζεν αὐτόν. Lh

book 188a ὅπου. R

book 188b ἰνδάλλεται: φαίνεται(ί) μοι Ald ὅμοιος εἶναι πώλῳ κλητῆρος. VAld

book 188c ἰνδάλλεται] παρεικάζεται. Lh

book 189a ὁμοιότατος κτλ.] οἱ γὰρ πῶλοι ὑποδύνουσι RVAld [ὑποκύπτοντες Lh] τὰς μητέρας καὶ RVAld θηλάζουσιν. RVLhAld

book 189b πωλίῳ: ἀντὶ τοῦ ὄνου ἢ ἡμιόνου "κλητῆρος" εἶπεν (.) VAld εἰς φιλοδικαστήν. V

book 189c πωλίῳ] ἀντὶ τοῦ V πώλῳ ὑποκοριστικῶς. VLhAld

book 189d κλητῆρες δὲ οἱ καλοῦντες εἰς τὸ (31) ... (1) τὸν μάρτυρα. (ex Su. s.v. κλητῆρες, III 134, 31—135, 1)

book 190 ἥσυχον] ἄνευ θορύβου. Vict

book 191a νῷϊν] συνίζησις. Lh

book 191b παροιμία ἐπὶ τῶν περὶ μηδενὸς χρησίμου φιλοτιμουμένων. R

book 191c παροιμία. ἴσον τῷ περὶ μηδενός· καὶ Δημοσθένης . V

book 191d περὶ ὄνου σκιᾶς: παροιμία ἐστὶ (ν) VLhAld τὸ "περὶ ὄνου σκιᾶς" Lh ἴση Lh [· ἴσον Ald] τῷ περὶ μηδενὸς λαμβανομένη Lh [· ἔστι δὲ Ald] LhAld ἐπὶ τῶν τὰ ἀνόνητα φιλονεικούντων (.) VLhAld, ἣν μετήνεγκε νῦν ὁ πρεσβύτης. VAld ἔστι δὲ ἀπὸ τοιαύτης αἰτίας· φασί ποτε ἐν Ἀθήναις τινὰ δεηθέντα ὀνηλάτου μισθώσασθαι ὄνον ἐπὶ τῷ τὰ VAld φορτία μόνα VAld* βαστάσαι ἐπὶ τὰ VAld Μέγαρα. VLhAld καὶ δὴ οὕτω δόξαν αὐτοῖς ἐπιθέντες τὰ φορτία ὥδευον. VAld

book 191d, col. 2 κάτω θεὶς οὖν τὸν μισθὸν καὶ ἐπιθεὶς τὰ φορτία ὥδευε μετὰ τοῦ ὀνηλάτου. Lh

book 191d μεσημβρίας δὲ γενομένης καὶ τῶν ὑπὸ τὸν Lh κύνα καυμάτων σφοδρῶς αὐτοῖς ἐπικειμένων VLhAld οὐχ εὑρίσκοντες σκέπην ἡλίου (?) (lac.)· διὸ V καθεῖλε τὰ φορτία ἀπὸ τοῦ ὄνου ὁ δεσπότης αὐτῶν καὶ δι' αὐτῶν αὐτῷ V [ἑαυτῷ Ald] σκιὰν ἐποίησεν· VAld

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 191d, col 2 καὶ μὴ δυνάμενοι μήτε αὐτοὶ ὁδοιπορεῖν μήτε ὁ ὄνος καθεῖλον τὰ φορτία ἀπὸ τοῦ ὄνου. μὴ δυνάμενος δὲ καὶ ἔτι ὁ τὸν ὄνον μισθωσάμενος ὑπομένειν τὸν καύσωνα δραμὼν ἐπὶ τὴν τοῦ ὄνου σκιὰν ἐκάθισεν· Lh

book 191d πρὸς ὃ μαχόμενος ὁ ὀνηλάτης ἔλεγεν ὄνον μεμισθωκέναι VAld μισθώσασθαι Lh] ἐπὶ τῷ VAld φορτία φέρειν VLh [φορεῖν Ald], οὐ σκιὰν παρέξειν. VLhAld ὁ δὲ ἔλεγε μεμισθῶσθαι, ὅπως ἂν ⟦ὡσ⟧ βούλοιτο χρῆσθαι. VAld

book 191d, col 2 ὁ δὲ ἔλεγεν, ὅ τι βούλοιτο χρήσασθαι, μισθώσασθαι. Lh

book 191d ἐκ δὲ ταύτης τῆς VAld [τῆς τοιαύτης οὖν Lh] φιλονεικίας μηδὲν οὔσης εἰς δικαστήριον κατηνέχθησαν· ὅθεν ἡ παροιμία (.) VLhAld ἐλήφθη, ἐπὶ τῶν μαχομένων περὶ τῶν μηδενὸς ἀξίων. Lh

book 191e τῆς δὲ παροιμίας μέμνηται καὶ Μένανδρος ἐν τῷ Ἐγχειριδίῳ (25) ... (4) Ἀθήνηθε Μέγαράδε ... (7) μεμισθωκέναι καὶ τὴν ... (9) μεμισθωκέναι ... (15) Ἀθήνηθεν εἰς ... (20) φιλοτιμουμένων. (ex Zenob. VI 28, Par. Gr. I 169, 24—170, 20)

book 192a λέγουσί τινες καὶ πονηρὰ κρέα ἀντὶ τοῦ σαπρά. R

book 192b πόρρω τέχνης: ἀντὶ τοῦ “οὐκ ἀπὸ τέχνης τινὸς πονηρὸς εἶ VAld οὐδ’ ἀπὸ μελέτης, ἀλλὰ φύσει (”) (.) VLhAld εἶ πονηρός”. Lh

book 192c παράβολος δὲ ἀντὶ τοῦ οὐ γνήσιος. (ex Su. s.v. παράβολος, IV 28, 26, ubi ad l. Josephi deinde cit. pertinet)

book 192d παράβολος] ὁ τολμηρός. VVict

book 194a ἔχεις γνῶναι ἄριστόν με ὄντα, εἰ καὶ μὴ νῦν με οἶδας. VAld

book 194b ἀλλ’ ἴσως ὅταν φάγῃς κτλ.] λείπει τὸ “γνώσῃ με”. Vict

book 194c ὅταν φάγῃς] ὅταν , φησίν, VAld τραφῇς (.) VLhAld ὑπ’ ἐμοῦ ὑπογάστριον· ἀπὸ μέρους δὲ τὴν τροφὴν ἁπλῶς λέγει. ἢ ὅτι ὄνους ἔτρωγον ἐν Ἀθήναις καὶ τοὺς μισθοὺς λαμβάνοντες οἱ δικασταὶ ὠνοῦντο τὰ ὑπογάστρια. VAld

book 195a ὑπογάστριον: ἐπεὶ πωλάριον ἐμιμεῖτο ἐπὶ τῷ ὄνῳ, VLhAld τὸ ὑπογάστριον VAld πρὸς τοῦτο. ἐχρῶντο δὲ τοῖς ὀνείοις. Ald

book 195a, col 2 πρὸς τοῦτο εἴρηκε τὸ ὑπογάστριον. ἢ Lh

book 195a ἀντὶ τοῦ εἰπεῖν LhAld ὑπογάστριον Ald ὄνου VAld [προβάτου Lh], ἢ βοός, VLhAld ἐπεὶ δικαστής ἐστιν, ἔφη V [εἶπε Ald] “γέροντος ἡλιαστικοῦ” ἀντὶ τοῦ “ὄνου”. VAld

book 195a, col 2 ἢ χοίρου, γέροντος εἶπεν. Lh

book 195b λείπει ἡ παρά· ἀντὶ τοῦ V παρὰ γέροντος ἡλιαστικοῦ, οἷον ἐκ τῆς ἡμετέρας σπουδῆς καὶ τέχνης. VAld

book 196a ὤθει τὸν ὄνον: τὸ πρῶτον πρὸς τὸν οἰκέτην, τὸ δὲ ἕτερον V [δεύτερον LhAld] πρὸς τὸν πατέρα (.) VLhAld· ὤθει σεαυτόν. VAld

book 196b ἐς τὴν οἰκίαν] ὤθει σαυτὸν εἰς τὴν οἰκίαν. Lh

book 197a ἐπειδὴ ἐδόκει ὁ Κλέων μισθοὺς πορίζεσθαι τῷ λεπτῷ δήμῳ. R

book 197b καὶ Κλέων: ἐπεὶ δοκεῖ Κλέων μισθοὺς πορίζειν τοῖς δικασταῖς. VLhAld

book 199 ὤθει σὺ πολλοὺς: ἤγουν ἐπίθες λίθους ἐπὶ τὴν θύραν, ἵνα μὴ εὐκόλως ἀνοίγῃ. LhAld

book 200 καὶ τὴν βάλανον: τὴν εἰς τὸν μοχλὸν βάλανον ἔμβαλε VAld εἰς τὸ πῆγμα VLhAld δηλονότι VAld, τουτέστι VLh κλεῖσον τῷ κλειδίῳ. VLhAld

book 201a

καὶ τῇ δοκῷ: ἐμβαλεῖν παρακελεύεται R [κελεύει VAld] καὶ R τὴν δοκὸν(όν) , τουτέστι τὸν ἀντιβάτην, R?, Ald πρὸς τὴν θύραν (.) RVAld, αὐτῇ δὲ τῇ δοκῷ τὸν ὅλμον· κατὰ φύσιν δὲ ἦν μᾶλλον εἰπεῖν “καὶ τὴν δοκὸν προσθείς”. VAld

book 201b τῇ δοκῷ] τῷ ἀντιβάτῃ. Lh

book 202 προσκύλιε: οὐκ εἶπε “βάστασον”, ἀλλὰ “κύλιε” δηλῶν τὸ μέγεθος τοῦ ὅλμου, ὅν φησι κάτω πρὸς τῇ ἀρχῇ τοῦ ἀντιβάτου προσθεῖναι VAld [ἐπιθεῖναι Lh]. VLhAld τοιαῦτα γὰρ ποιοῦσιν οἱ ἀσφαλιζόμενοι θύρας οἰκίας. Lh

book 203 τὸ βώλιον: ἡ βῶλος ὑποκοριστικῶς. VAld ἐν ὅσῳ δὲ VAld ἕλκει ἐκ τῆς στέγης, ἔπεσε κατ’ αὐτοῦ μικρὸς λίθος (.) VLhAld, ὃν βώλιον ὑποκοριστικῶς λέγει. Lh

book 205 ὑποδυόμενός] κρυπτόμενος. Lh

book 206a παρὰ τὸ “μῦς ὀροφίας”· λέγεται γὰρ οὕτω καὶ ὄφις. R

book 206b ὀροφίας: ἀντὶ τοῦ εἰπεῖν “μῦς ὀροφίας”· λέγονται δὲ μῦς ὀροφίαι καὶ ὄφεις οἱ περὶ τὰς ὀροφὰς διάγοντες καὶ ταύτας περιτρώγοντες V [κατατρώγοντες Ald]. VAld

book 206c ἀντὶ τοῦ εἰπεῖν “μῦς ὀροφίας” “ἡλιαστὴς” εἶπε διὰ τὸ φιλόδικον αὐτοῦ· ὀροφίαι γὰρ μύες λέγονται οἱ ὑπὸ τὸν ὄροφον καὶ τοὺς κεράμους διατρίβοντες, ὡς ἀρουραῖοι οἱ ἐν ταῖς ἀρούραις. Lh

book 206d ἡλιαστὴς ὀροφίας] τοῦτο παρ’ ὑπόνοιαν διὰ τὸ φιλόδικον. Lh

book 207 στρουθὸς ἀνὴρ γίνεται: ἐπειδὴ ἀναπηδᾷ ὁ γέρων, ταῦτά φησιν ὁ οἰκέτης. LhAld

book 208a ἐκπτήσεται] ἐκπετάσει. Lh

book 208b εἰώθασιν οἱ τὰ πτηνὰ ἀγρεύοντες δίκτυα ἐκτείνειν ἐπὶ τῆς γῆς καὶ οὕτω ταῦτα ἀγρεύειν ζῶντα· ἄλλοι δὲ τὰ ἐπὶ τῶν κεράμων καθήμενα πτηνὰ δίκτυα ἄνωθεν ἐφαπλοῦντες ἀγρεύουσιν, ὅπερ καὶ οὗτος λέγεται ποιῆσαι. Lh

book 209 σοῦ σοῦ: ἀποσοβοῦσι τὸν γέροντα ὡς στρουθόν VAld [στρουθίον Lh] σοῦ R, ὡς εἰώθαμεν RVAld [εἰώθασι Lh] τὰ ὄρνεα σοβεῖν. RVLhAld

book 210a Σκιώνην: Φιλόχορος ἐπὶ Ἰσάρχου φησὶ πρὸ ἐνιαυτοῦ Βρασίδαν ἀποστῆσαι Σικωνεῖς τῶν Ἀθηναίων. VLhAld φασὶν Ἀθηναίους τριήρεις λʹ R

book 210a, col. 2 Ἀθηναίους δέ φασι λʹ τριήρεις VLhAld

book 210a πρότερον LhAld πέμψαντας μενεδάϊμον ἐνελείη· V Σκιώνην δὲ V περιτειχίσαι (.) RVLhAld, μαθόντας δὲ ὕστερον ἀποστῆναι αὐτῶν ἀποστεῖλαι στρατὸν καὶ πολιορκῆσαι καὶ ἀποτειχίσαι αὖθις, ὡς τὸ πρότερον. LhAld

book 210b τηρεῖν Σκιώνην] χωρίον Θρᾴκης πολέμιον Ἀθηναίοις (.) VLhAld, ἣν ἐφρούρουν ἐπιεικῶς· ἣν πολιορκήσαντες ἀπετείχισαν. VAld

book 210c ἀντὶ τούτου: ἀντὶ τοῦ πατρὸς τούτου Ald, ἵνα ᾖ ὁ Ald, οἰκέτης λέγων περὶ τοῦ πατρὸς τοῦ Βδελυκλέωνος. VAld

book 211 νυν] δή. Lh

book 213a σταλαγμόν. R

book 213b ὅσον στίλην: ὅτι σημαίνει τὸ VAld [ὅσον Lh] ἐλάχιστον· Καλλίστρατος δὲ νομισμάτιόν τι ἐλάχιστον (.) VLhAld λέγει. Lh

book 214 ἀλλ’ ὦ πόνηροι: πρὸς τοὺς οἰκέτας VAld [τὸν οἰκέτην Lh] τὸ LhAld “ὦ πόνηροι” VAld [πόνηρε” Lh]. VLhAld

book 215a

παρακαλοῦντες τουτονὶ: τὸ "παρακαλοῦντες" φησὶν Lh ἀντὶ τοῦ καλοῦντες. R ἐκκαλοῦντες VAld [ἐκκαλούμενοι Lh] RVLhAld, οὐχ, ὡς ἐν τῇ κοινῇ Lh συνηθείᾳ, ἐπὶ VAld [ἀντὶ Lh] τοῦ ἀξιοῦν VAld [ἀξιοῦντες Lh]. τοῦτο δέ φησιν εὐκαίρως βουλόμενος τὴν εἴσοδον τοῦ χοροῦ ποιῆσαι· ἐκ γὰρ φιλοδίκων ἀνδρῶν συνέστηκεν. VLhAld

book 215b παρακαλοῦντες] ἐκκαλούμενοι· Lh ἡ παρά ἀντὶ τοῦ ἐξ V [τῆς ἐκ Lh]. VLh

book 216 ὄρθος βαθύς] βαθεῖα νύξ. VVictLh

book 217 ὀψὲ] μετὰ τὸν καιρὸν τὸν δέοντα. VVictLh

book 218 παρακαλοῦς'] ἀντὶ τοῦ καλοῦσιν. V

book 219a μινυρίζοντες] ᾄδοντες. VVictLh

book 219b μέλη] διὰ τὴν ἡδύτητα τοῦ ποιητοῦ μέλη εἶπεν. Lh

book 220a τὸ μὲν μελη τὴν γλυκύτητα τοῦ ποιητοῦ σημαίνει, τὸ δὲ σιδωνο τόπον, 〈εἰς ὃν〉 τὸ μέλος τείνει, τὸ δὲ φρυνιχήρατα . R

book 497 παραβλέψασά φησι: τῷ ἑτέρῳ VΓAld [ἑνὶ Lh] ὀφθαλμῷ VΓLhAld αὐτόν, φησίν, χαλεπῶς ὑποβλεψαμένη φησίν· (498) “σοῦ ἐστι τὸ τοῦτο φαγεῖν;” VΓAld

book 497, col. 2 ὑποβλεψαμένη ἀγρίως καὶ χαλεπῶς, Lh

book 497 ὡς οὐκ ἄξιον ἡγουμένη τὸν τυχόντα φαγεῖν τὸ Lh γήτειον. VΓLhAld

book 499a ἢ νομίζεις τὰς Ἀθήνας: φησίν, ὅτι “διὰ σὲ φύουσιν αἱ Ἀθῆναι ἡδύσματα.” VΓAld

book 499b σοὶ ... ἡδύσματα] ἤγουν διὰ σὲ τὰ ἡδύσματα ταῦτα φύειν. Lh

book 500 τῆς] ἐπί. Lh

book 501 κελητίζειν δὲ κυρίως τὸ κέλητα ... εἰδώς. (ex Su. s.v. κελητίζειν, III 92, 27sq.)

book 502a εἰ τὴν Ἱππίου καθίσταμαι: ἀντὶ τοῦ εἰ καταστῆσαι βούλομαι ἐμαυτῷ τυραννίδα. ΓLhAld

book 502b

οὗτος ὁ Ἱππίας Lh τύραννος δεινός(–ὸς) ἐγένετο Lh, τοῦ πατρὸς Πεισιστράτου τυραννικώτερος. VΓLhAld

book 502c ὁ Ἱππίας ἐτυράννησεν, οὐχ ὁ Ἵππαρχος· VΓAld κοινῶς δὲ πάντες οἱ Πεισιστρατίδαι τύραννοι ἐλέγοντο. παίζων δὲ καὶ ΓAld ἅμα πρὸς τὸ τῆς συνουσίας σχῆμα τὸν Ἱππίαν παρέλαβεν. VΓAld

book 502c, col. 2 τούτου δὲ μόνου τυραννήσαντος πάντες οἱ Πεισιστρατίδαι τέσσαρες κατ' ἐνίους ὄντες τύραννοι ἐλέγοντο. ἅμα δὲ καὶ πρὸς συνουσίας σχῆμα τοῦτο λέγει παίζων. Lh

book 502d χαλεπὴ γὰρ V [δὲ ΓAld] ἡ Ἱππίου τυραννὶς ἐδόκει γεγονέναι V [εἶναι ΓAld], πολὺ τῆς τοῦ πατρὸς Πεισιστράτου χείρων. μνημονεύει δὲ αὐτοῦ καὶ ἐν Λυσιστράτῃ. εἰκότως δὲ τεσσάρων ὄντων κατ' ἐνίους τῶν Πεισιστρατιδῶν τὸν Ἱππίαν παρέλαβεν· πρεσβύτατος γὰρ ἦν αὐτὸς καὶ τὴν τυραννίδα εἶχεν, καθὰ καὶ Θουκυδίδης φησίν. VΓAld ἐδόκει V [δοκεῖ ΓLhAld] δὲ ἡ τυραννὶς καταστῆναι VΓ Ald [συστῆναι Lh], ὥς φησιν Ἐρατοσθένης, ἐπὶ VΓAld ἔτη ν' τἀκριβοῦς V*Lh [τοῦ ἀκριβοῦς ΓAld] διαμαρτάνων (.) VΓLhAld Ἀριστοτέλους μὲν τεσσαράκοντα καὶ ἓν φήσαντος, Ἡροδότου δὲ ἓξ καὶ τριάκοντα. VΓAld

book 502d, col. 2 Ἀριστοτέλης γὰρ τεσσαράκοντα καὶ ἕν φησιν, Ἡρόδοτος δὲ ἓξ καὶ τριάκοντα. Lh

book 505a ὑφὲν ὅλον. R

book 505b ὀρθροφοιτοσυκοφα–: παρὰ τὸ ὀρθεύειν καὶ φοιτᾶν καὶ συκοφαντεῖν καὶ ἐν δίκαις ταλαιπωρεῖν. VΓLhAld

book 506a Μόρυχος εἰς ὀψοφαγίαν καὶ ἡδυπάθειαν ἐκωμῳδεῖτο, ὡς καὶ ἐν Εἰρήνῃ φησίν. R

book 506b εὐγενῆ καὶ τρυφηλόν φασι τὸν Μόρυχον. V

book 506c ζῆν βίον γενναῖον: πρὸς τοὺς τοὺς Ἀψευδεῖς ποιήσαντας, ὅτι τὸν Μόρυχον τῶν πολιτικῶν πεποίηκε πραγμάτων ἀγνοήσαντες, ὅτι 〈ὡσ〉 τρυφερὸς καὶ ἡδύβιος κωμῳδεῖται· ἢ καὶ νῦν ἐν εἰρωνείᾳ. vΓ Ald

book 506d αἰτίαν] μέμψιν (.) VΓ LhAld καὶ ἔγκλημα. VΓ Ald

book 506e ἔχω] ἔχων. Lh

book 507 ταῦτα δρᾶν: τὸ ἑξῆς· ἀπαλλαχθέντα τούτων ταῦτα (.) VΓ LhAld δρᾶν. ΓLhAld

book 508a ὀρνίθων γάλα] οὕτως ἐπὶ τῶν σπανίων ἔλεγον. VΓ3

book 508b ὀρνίθων γάλα: παροιμία ἐστὶ τὸ "ὀρνίθων γάλα" Lh ἐπὶ τῶν λίαν εὐδαιμονούντων καὶ πάντα κεκτημένων, ὡς καὶ ἐκ τῶν ἀδυνάτων πόρους κομίζεσθαι· ἀδύνατον γὰρ ἐξ ὀρνίθων γάλα ποτὲ λαβεῖν. οἱ δὲ εὐδαιμονοῦντες καὶ τοῦτο, εἰ βουληθεῖεν, πορίσαιντο. LhAld

book 510a βατίσιν] εἶδος ἰχθύων. Γ3

book 510b βατίσιν] ἰχθύες ἀμφότεροι. Lh

book 510c βατὶς δὲ εἶδος ... βατιοσκόποι οἱ ὀψοφάγοι. (ex Su. s.v. βατίς, I 462, 1)

book 511a ὀπτημένον. R

book 511b πεπνιγμένον] ἡψημένον. V

book 511c πεπνιγμένον: δέον εἰπεῖν "ἡψημένον" V ["ἐψημένον" ΓLhAld*] φησὶ "πεπνιγμένον" ἀπὸ τοῦ συμβαίνοντος ὑπὸ τῶν δικαστῶν τοῖς δικαζομένοις. VΓLhAld

book 515a περὶ τῶν δημαγωγῶν λέγει, ὅτι ὀλίγον τι τῷ λεπτῷ ὄχλῳ μισθοδοτοῦντες τὰ μέγιστα αὐτοὶ ἐκέρδαινον. R

book 515b καταγελώμενος μὲν οὖν: οὐκ Γ αἰσθάνει Γ [αἰσθάνῃ Ald] καταγελώμενος ΓAld ὑπὸ τῶν δικαστῶν, VΓ ὑπ' ἀνδρῶν, οὓς οὐχὶ μόνον τιμᾷς καὶ σέβεις ὡς βελτίους, ἀλλὰ καὶ ὡς δεσπόταις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὑποτάττῃ. λέγει δὲ τοὺς δημαγωγούς, ὧν προστάξει δικάζουσιν, ὑφ’ ὧν καὶ τὸν μισθὸν λαμβάνουσιν. VΓAld

book 516a οὐκ ἐπαΐεις] οὐκ αἰσθάνῃ. RLh

book 516b ὑπ’ ἀνδρῶν] τῶν δικαστῶν. Lh

book 517a ἀλλὰ δουλεύων λέληθας: ὅτι πρὸς τὰς ὑποσχέσεις τῶν δημαγωγῶν ἐδίκαζον καὶ ὑπηρέται ἦσαν αὐτῶν πρὸς τὸ ἐκείνων βούλημα VΓAld [θέλημα Lh] δικάζοντες (.) VΓLhAld, ὑφ’ ὧν καὶ τὸν μισθὸν ἐλάμβανον. Lh

book 517b δουλεύων λέληθας] ὑπείκων αὐτοῖς καὶ ὑπηρετῶν. Lh

book 520a καρπουμένῳ τὴν Ἑλλάδα: τοὺς φόρους γὰρ V ἐλάμβανον οἱ Ἀθηναῖοι. ὁ δὲ λόγος· VΓAld “τί σοι ἐκ τούτου RV [τούτων ΓAld] Ἀθηναίῳ ὄντι πλέον γίνεται R [προσγίνεται VΓAld] τὸ δικαστικὸν μόνον λαμβάνοντι; (”) RVΓAld οἱ γὰρ δημαγωγοὶ πάντα λαμβάνουσιν”. VΓAld

book 520b ὅτι φόρους ἐλάμβανον Ἀθηναῖοι ἐκ τῆς Ἑλλάδος, ἐξ ὧν οἱ δικασταὶ τὸ τριώβολον ἐλάμβανον. φησὶ γοῦν, ὅτι “πάντα οἱ δημαγωγοὶ λαμβάνουσιν, σοὶ δὲ οὐδὲν ἄλλο περιγίνεται εἰ μὴ ὁ δικαστικὸς μόνος μισθός· καὶ ἐκ τούτου οἴει καρποῦσθαι τὴν Ἑλλάδα”. Lh

book 521a τούτοισί γ’] τοῖς θεαταῖς. VΓ3Lh

book 521b ἐπιτρέψαι] δικάσαι. VΓ3Lh

book 521c καὶ μὴν ἐγώ] καὶ ἐγὼ VΓ3 βούλομαι. VΓ3Lh

book 522 ἄφετε νῦν ἅπαντες: πρὸς τοὺς σφῆκάς φησιν , ὅτι “ἄφετε αὐτόν” VΓAld· ἢ πρὸς τοὺς οἰκέτας τοὺς κατέχοντας τὸν VΓAld Φιλοκλέωνα. VΓLhAld

book 524 τῇ διαιτῇ] τῇ VΓ3 κρίσει. VΓ3Lh

book 525a μηδέποτε πίοιμ’: δέον εἰπεῖν “ἄκρατον ἀγαθοῦ δαίμονος” τὸν μισθὸν VΓAld [“μισθὸν” Lh] εἶπεν VLh [εἴρηκεν Γ*Ald] ὑπεμφαίνων τὸ φιλόδικον. VγLhAld

book 525b ἀγαθοῦ δαίμονος: καὶ ἐν Εἰρήνῃ· νῦν γὰρ ἡμῖν πάρεστιν ἁρπάσαι ἀγαθοῦ δαίμονος. ἔθος δὲ ἦν, ὁπότε μέλλοι ἡ τράπεζα αἴρεσθαι, ἀγαθοῦ δαίμονος ἐπιρροφεῖν, ὡς Θεόπομπός φησιν, ὡς δὲ Ἀπολλόδωρος καὶ ὅτι τὸ ποτήριον μεστὸν πάλιν ἀπεπλήρουν, δεδήλωκεν ἐν τῇ δ′ τῶν V περὶ Σώφρονος. VΓAld

book 525c ἔθος ἦν αἰρομένης τῆς τραπέζης ἐπιπίνειν πάντων ὕστερον καὶ τοῦτο καλεῖν “ἀγαθοῦ δαίμονος”. μέμνηται τούτου καὶ ἐν Ἱππεῦσιν· μὰ Δί’ ἀλλ’ ἄκρατον οἶνον ἀγαθοῦ δαίμονος. Lh

book 526a ἐκ θημετέρου: ἐξ Lh [ἐκ τοῦ Ald] ἡμετέρου. LhAld

book 526b ἡμετέρου] τοῦτο πρὸς τὸν LhAld Φιλοκλέωνα. VΓ3LhAld τὸν ἐκ VΓ3 τῆς αὐτῆς VΓ3 [παρ’ Lh] ἡμῖν παλαίστρας. VΓ3Lh

book 528a ὅπως: τὸ πλῆρες τοῦ λόγου· “φανήσῃ καινόν τι λέγων”. R

book 528b φανήσει] λείπει Γ3Lh γενναῖος (,) καὶ Lh ἐγκρατής. VΓ3Lh

book 529a ἐνεγκάτω μοι: ὁ παῖς τοῦτό φησιν, VΓAld ὡς ἐν τῇ κίστῃ γραμματείου τινὸς ὄντος, ὅπου VΓAld [ἔνθα Lh] τὰ κεφάλαια τῶν ὑπὸ τοῦ πατρὸς λεγομένων ἀνεγέγραπτο VLh [ἐνεγέγραπτο ΓAld], VΓLhAld ἵνα, φησίν, λαβὼν χάρτην ἀναγράψαιμι τῶν λεγομένων τὰ κεφάλαια. VΓAld

book 529a, col. 2 “ἐνεγκάτω τὴν κίστην τις”, φησίν, “ἵνα ἀναγράψωμαι καὶ τὰ νῦν λεγόμενα”. Lh

book 529b τὴν κίστην] τὸ κιβώτιον. Lh

book 530 ἀτὰρ φανῇ: ὀφθήσῃ (.) ΓLh μὴ κατὰ τὸν νεανίαν τοῦτον λέγων, ἐὰν ταῦτα παρακελεύῃ, ἀλλὰ δηλονότι πραγματικώτερον αὐτοῦ καὶ βέλτιον Γ.

book 531 τὰ περὶ τοῦ δεῖν ἐκ παντὸς δικάζειν. R

book 532a μὴ οὕτω λέγειν ὡς ὁ νεανίσκος. R

book 532b μὴ κατὰ τὸν νεανίαν: τινὲς Ald τοῦτο πρὸς τὰ ἄνω· "ὅπως φανήσῃ μὴ κατὰ τὸν νεανίαν τόνδε λέγειν" (.) Γ3LhAld, ἀλλὰ (530, 2) ... (2) βέλτιον. LhAld

book 538a τὰ κεφάλαια τῶν ὑπὸ τοῦ πατρὸς λεγομένων. R

book 538b μνημόσυνα: εἰς τὸ μνημονεῦσαι ἀπογράψομαι. Γ3LhAld

book 539a φάθ'] τὸ τέλειον VΓ3 φατέ. VΓ3Lh

book 539b ἣν κτλ.] ἤγουν Lh ἐὰν ἡττηθῶ (.) VΓ3Lh ὑπὸ τοῦδε. Lh

book 539c lh

book 540a στροφὴ κώλων η'. lhAld

book 540b ὄχλος] τὸ σύστημα. VΓ3Lh

book 541 οὐδ' ἀκαρῆ: οὐδὲ βραχὺ οὐδὲ κατὰ τὸ τυχόν. Γ3LhAld

book 542 σκωπτόμενοι δ' ἂν: ὅτι τῷ σκώπτειν ὁμοίως ἡμῖν κέχρηται. οὐδὲν δὲ ἀναγκαῖον· δύναται γὰρ καὶ Γ [ἐνταῦθα Lh] τὸ σκωπτόμενοι Lh ἀντὶ τοῦ γέλωτα παρέχοντες. VΓLh

book 544a ἐργάται. R

book 544b θαλλοφόροι: ἐν τοῖς ὑπομνήμασιν οὕτω γέγραπται· "θαλλοφόροι ἀντὶ τοῦ ἐργάται· "θαλλόν τ' ἐρίφοισι φορῆναι"· οἱ γέροντες γὰρ τὰ τοιαῦτα ἐν ἀγρῷ οἰκονομοῦσιν". εὐχερεῖς δέ εἰσιν, περὶ ὧν μηδὲν ἔσχον εἰπεῖν σαφές, ἀποσχεδιάζοντες. VΓAld θαλλοφόρους VΓAld [τὸ "θαλλοφόροι" Lh] γὰρ VΓAld ἔφη βουλόμενος τοὺς γέροντας δηλῶσαι, ἐπειδὴ ἐν τοῖς Παναθηναίοις οἱ γέροντες θαλλοὺς ἔχοντες ἐπόμπευον. ὡς οὖν εἰς οὐδὲν ἕτερον Lh ὄντων χρησίμων αὐτῶν ἔξω V*ΓAld [τῶν γερόντων πλὴν Lh] τοῦ θαλλοφορεῖν, οὕτως αὐτοὺς ἐπέσκωψεν. ὁ μέντοι Δικαίαρχος ἐν τῷ Παναθηναϊκῷ φησιν Lh—οὐκ οἶδα ἐξ ὅτου—"ποτὲ καὶ τὰς γραῦς ἐν τοῖς Παναθηναίοις ὑπειλῆφθαι θαλλοφορεῖν" πολλῶν ἀλλήλοις ὁμολογούντων ὑπὲρ τοῦ μόνους τοὺς πρεσβύτας θαλλοφορεῖν (.) VΓLhAld, Ξενοφῶντος μὲν ἐν τῷ Συμποσίῳ, Φιλοχόρου δὲ ἐν τῇ δευτέρᾳ, ὅς γε καὶ τὸν καταδόντα V* [κατα- 〈δ〉 ιδόντα ΓAld] τὸ ἔθος Ἐριχθόνιον συνίστησιν. μνημονεύει τοῦ ἔθους Κρατῖνος μὲν ἐν Δηλιάσιν, Φερεκράτης δὲ ἐν Ἐπιλήσμονι. VΓAld

book 544c 544] ἀντὶ τοῦ ἐργάται, ὡς ἐν τοῖς ὑπομνήμασιν ἀναγέγραπται. Lh

book 544/5a τὸ ἔγκλημα ἔλεγον ἀντωμοσίαν διὰ τὸ ἀντομνύναι τοὺς ἀδικοῦντας. R

book 544/5b ἀντωμοσιῶν: τῶν δικῶν. ἀντωμοσίαι δὲ VΓAld ἐκαλοῦντο, ὅταν VΓAld [ὅτε Lh] ὁ ἐγκαλούμενος περὶ κλοπῆς ἐν τῷ δικαστηρίῳ ὠμωμόκει πρὸ δίκης καὶ ὁ ἐνάγων δὲ VΓAld αὐτὸν ΓAld ἀντωμωμόκει αὐτὸν εἶναι τὸν λῃστήν VΓAld [κλέπτην Lh]· καὶ οὗτοι λοιπὸν V μάρτυρες ἐκαλοῦντο. VΓLhAld

book 545a τῶν τραγημάτων λεπύριον ἢ ὄστρακον. R

book 545b κελύφη: ἀντὶ τοῦ V καλύμματα (.) VΓLhAld δικῶν· ἢ τῶν ἐγκλημάτων. κελύφη δὲ τὰ τῶν ᾠῶν καλύμματα. ὡσεὶ ἔλεγεν ἀποβλήματα δικῶν. VΓAld

book 546a ἀλλ' ὦ: παραθαρσύνων τὸν Φιλοκλέωνα ὁ χορὸς Γ3Lh*Ald* ταῦτά φησιν. VΓ3LhAld

book 546b βασιλείας] ἀντὶ τοῦ VΓ3 ἀρχῆς. VΓ3Lh

book 547 βασάνιζε] κίνει, δοκίμαζε. Γ3Lh

book 548 ἀπὸ βαλβίδων: ἀπ' ἀρχῆς, εὐθέως. VΓLhAld ἀπὸ μεταφορᾶς τῶν σταδιοδρομούντων· βαλβὶς γάρ ἐστιν ἡ ἀφετηρία. ἣν δὲ αὕτη V γραμμή(ὴ) δέ ΓAld, ἐφ' ἧς εἱστήκεσαν, ἕως ἂν ἀποσημάνθῃ ὁ δρόμος αὐτοῖς V [αὐτῶν ΓAld]. VΓAld

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 551 τρυφερώτερον: τρυφῆς δεόμενον. καλῶς δὲ VΓAld ἡ προσθήκη τοῦ γέροντος· ἀσθενεῖς γὰρ περὶ τὰς ἡδονὰς οἱ γέροντες. VΓLhAld

book 552a τοῖς δικαστικοῖς. R

book 552b τοῖς δρυφάκτοις] τοῖς περιφράγμασι τοῦ δικαστηρίου. VΓ3Lh

book 554a ἐμβάλλει μοι τὴν χεῖρ’: ὃ ποιοῦσιν οἱ τοῖς δικασταῖς VΓAld θωπευτικοὶ R [θωπευτικῶς VΓ Ald] προσιόντες ἠρέμα ἐφαπτόμενοι τῆς χειρὸς ἐν τῷ ἀσπάζεσθαι (.) RVΓAld

book 554a, col 2 οἱ θωπευτικῶς προσιόντες ἠρέμα ἐφαπτόμενοι τῆς χειρὸς τῶν δικαστῶν ἠσπάζοντο Lh

book 554a διὰ τὸ μέλλειν κρίνεσθαι αὐτοὺς Lh ἐπὶ δημοσίων κλοπῇ (.) VΓAld [περὶ κλοπῆς Lh] προκαταλαμβάνοντες LhAld. VΓLhAld

book 554b ἐμβάλλει μοι] ἐμβάλλουσίν μοι. Lh

book 555 οἰκτροχοοῦντες: οἰκτρῶς VΓLh [οἰκτρὰ Ald] χέοντες. VΓLhAld καὶ V Ὅμηρος· ἥ τε πολυτρωχῶσα χέει πολυηχέα φωνήν. VΓAld

book 557 ξυνσίτοις ἀγοράζων] νῦν τὸ “ἀγοράζων” V [ἀγοράζω Lh], ὡς ἡμεῖς λέγομεν. VLh

book 558 ὅς ἔμ’ οὐδ’ ἂν ζῶντ’ ἤδειν: ὅστις οὐδ’ ἂν λόγου με ἠξίωσεν, εἰ μὴ εὐεργετήθη V [εὐηργετήθη ΓLhAld] ὑπ’ VΓAld [παρ’ Lh] ἐμοῦ. VΓLhAld

book 559 τουτὶ περὶ: ἐν τῷ γραμματείῳ ὁ Βδελυκλέων LhAld ἀπογράφεται, ὡς V ὅτι ἀντιβολοῦνται οἱ δικασταί (.) VLhAld, ὡς καὶ ἄνω εἴρηκεν, ἵν’ ἔχῃ τοῦτο εἰς κατηγορίαν αὐτῶν. LhAld

book 560 ἀπομορχθεὶς] ἀποβαλών. Γ3LhAld

book 561a ἔνδον τούτων ὧν ἂν φάσκω: ἀντὶ τοῦ “ἃ ἔξωθεν ἐπαγγέλλομαι ποιεῖν, ἔνδον VΓAld οὐ VΓAld [οὐδὲ Lh] ποιῶ”. VΓLhAld τοιοῦτοι γὰρ οἱ δικασταί· παραχρῆμα μὲν ἐπαγγέλλονται, ὕστερον δὲ ἀρνοῦνται. VΓAld

book 562a εἰς ἀπόφευξιν] εἰς τὸ ἀποφυγεῖν. Γ3

book 562b ἀπόφευξιν] ἀποφυγήν. Lh

book 565a κακὰ πρὸς τοῖς οὖσιν: ἐν σχήματι εἴρηκε μεταβὰς ἀπὸ τοῦ πληθυντικοῦ εἰς τὸ ἑνικόν. ὁ δὲ νοῦς· ἕως ἂν οὗτοι τὰ κακὰ τὰ ἡμέτερα ἀποφήνωσι τοῖς ἑαυτῶν ἴσα. VΓAld

book 565b ἀντὶ τοῦ τοσαῦτα λέγουσιν, ἕως ἂν VΓAld ἀποδείξωσιν ἑαυτοὺς πένητας ὡς ἐγώ. V

book 565b, col 2 αὐτοὺς πένητας ἀποδείξωσιν ὡς ἐγώ. ΓAld

book 565c ἕως ἄν, φησίν, τὰ ἑαυτῶν κακὰ ἀποφήνωσι τοῖς ἐμοῖς ἴσα, ἤγουν ἕως ἂν ἀποδείξωσιν (b s2) … (s3) ἐγώ· ἀπὸ πληθυντικοῦ δὲ εἰς ἑνικὸν μετέβη. Lh

book 566a Αἰσώπου τι γελοῖον: οὗτος ὁ Lh Αἴσωπος τραγῳδίας ποιητὴς {V}Γ ἐγένετο ὑποκριτὴς(ής) (.) VΓLhAld γελοιώδης. VLhAld Αἰσχύλου δὲ ἦν ὑποκριτής. VLh

book 566b γελοιον] προπερισπωμένως V [προπερισπᾶται ΓLhAld] τὸ “γελοιον” V “γελοῖον” ΓAld “γέλοιον” Lh (.) VΓLhAld ἐν ἑτέροις. Lh

book 568a εὐθὺς ἀνέλκει: διὰ γὰρ V τὸν οἶκτον οἱ δικαζόμενοι τοῦτο ἐποίουν. VΓLhAld

book 568b ἀνέλκει] εἰς τὸ βῆμα. ΓLhAld

book 569 ἀκροῶμαι] ἵνα κἀνταῦθα ἐλεηθῇ VΓ [ἐλεηθῶσιν LhAld]. VΓLhAld

book 570 ἅμα βληχᾶται: ποιὰν φωνὴν ἀφίησιν ἐλεεινήν. ἐκ δὲ VΓAld τῆς ἀσήμου ταύτης Lh φωνῆς τοῦ “βληχᾶται” Lh δηλοῖ τὴν βραχεῖαν τῶν παίδων ἡλικίαν. VΓLhAld

book 571 τῆς εὐθύνης ἀπολῦσαι] τῆς δίκης παρεκβάλλων. VΓ3Lh

book 572a

εἰ μὲν χαίρεις ἀρνὸς φωνῇ: παίζει ταῦτα, ἐπεὶ ἐκεῖνοι οὕτως λέγουσιν· VΓAld [ἔλεγον. Lh] τοιαῦτα οἱ ἱκετεύοντες ἔλεγον· Lh εἰ μὲν ἄρσενά τις ἔχει, εἰς τοὺς ἄρσενας ἀπίτω· εἰ δὲ θήλεια VΓ, Lh? [θήλεα Ald], τὰς θηλείας κατοικτειράτω. VΓLhAld

book 572b ἐλεήσαις] λέγει τὸ ΓAld* ἐλέησον (.) VΓAld ἢ ἀπόλυσον. VΓ

book 573 χοιριδίοις: ἴσως, ὅτι χοῖρος προσαγορεύεται τὸ τῆς γυναικὸς V*Lh [γυναικεῖον ΓAld] αἰδοῖον VΓAld [μόριον Lh]. VΓLhAld

book 574a κόλλοπα: τὴν νευράν. τὸ τοῦ ταύρου τραχηλιαῖον· σκληρότατον τοῦτο. θέλει οὖν εἰπεῖν "τὸ στερεώτατον τῆς ὀργῆς." R

book 574b τὸν κόλλοπ' ἀνεῖμεν: ἀντὶ τοῦ V τὸ στερεώτατον τῆς ὁρμῆς, ἀπὸ τοῦ κατὰ τὸν τένοντα κόλλοπος· ἔστι δὲ δέρμα στερεώτατον. ἢ καὶ παρὰ τὸν τένοντα τῆς χορδῆς κάλλοπα τὸν κόλλοπα. VΓAld

book 574c κόλλοπες γὰρ Lh λέγονται οἱ πασσαλίσκοι τῆς κιθάρας, εἰς οὓς ἀποδεσμοῦνται αἱ νευραὶ VΓAld [χορδαὶ Lh] καὶ τείνονται στρεφομένων ἐκείνων Lh. VΓLhAld "ὀργῆς" οὖν "κόλλοπα" ἀντὶ τοῦ τὴν τάσιν τῆς ὀργῆς (.) VΓAld "ὀλίγον χαλῶμεν". V

book 574c, col. 2 παρὰ τὸν τὴν χορδὴν τείνοντα κόλλοπα "τῆς ὀργῆς" νῦν "τὸν κόλλοπα" εἶπεν "ὀλίγον χαλῶμεν". Lh

book 574d τὸν κόλλοπ' ἀνεῖμεν] ἀντὶ τοῦ ΓLhAld τὴν τάσιν τῆς ὀργῆς. VΓLhAld

book 575 καταχήνη: χλευή, V κατάγελως, καταφρόνησις. VΓ3LhAld

book 576 γρ. καὶ "πλούτου". R

book 577a καὶ τἀγαθά μοι μέμνησο: καὶ VΓAld μέμνησο, φησίν, εἰπεῖν, ἃ ἔχεις (.) VΓLhAld φάσκων ἄρχειν τῆς Ἑλλάδος. VΓAld

book 577b ἐπειδὴ ἔλεγεν ὁ Φιλοκλέων, ὅτι οἱ δικασταὶ ἄρχουσι τῆς Ἑλλάδος. VΓLhAld

book 577c τὴν ... ἀρχήν] τῆς ... ἄρχειν. Γ3

book 578a καὶ γὰρ οἱ ὀρφανοὶ ἐδοκιμάζοντο. R

book 578b παίδων τοίνυν δοκιμαζομένων: πρὸς τὸ ἔθος τοῦτο λέγει Lh. Ἀριστοτέλης δέ VΓAld [γάρ Lh] φησιν, ὅτι ψήφῳ οἱ ἐγγραφόμενοι δοκιμάζονται (,) οἱ VΓAld νεώτεροι (,) εἰ Lh μὴ ἐτῶν ιη' εἶεν. ἴσως δ' ἂν περὶ τῶν κρινομένων παίδων εἰς τοὺς γυμνικοὺς ἀγῶνας λέγει V, Γ?, Ald [λέγοι Lh], οὐχ ὡς ἐν δικαστηρίῳ κρινομένων, ἀλλ' ὑπὸ τῶν πρεσβυτέρων. VΓLhAld

book 578c τῶν γὰρ παίδων τὴν ἡλικίαν δοκιμάζοντες τὰ αἰδοῖα ἐσκόπουν διὰ τὸ δεῖσθαι αὐτῶν εἰς τὸ χρησιμεύειν ἐν ταῖς λειτουργίαις. VΓLhAld

book 579a Οἴαγρος τραγικὸς ὑποκριτής. R

book 579b κἂν Οἴαγρος: ὅτι VΓAld [οὗτος Lh] τραγικὸς ὑποκριτὴς(ής) (.) VΓLhAld ὁ Οἴαγρος, εἴρηται πρότερον. VΓAld ὡς θαυμάζων δὲ αὐτόν φησιν, ὅτι κἂν ἐκεῖνος ὁ μέγας καταδικασθῇ. VΓLhAld ἐκ τῆς Νιόβης δὲ . VΓAld καὶ γὰρ VΓAld [ὅτι Lh] ὑπεκρίθη τὴν Νιόβην ἢ VΓAld Σοφοκλέους ἢ Αἰσχύλου. VΓLhAld

book 581a ἐπίχειρα] μισθόν. Γ3Lh

book 581b ἐπίχειρα δὲ μισθούς, τὰ ἀπὸ τῶν χειρῶν κέρδη. (ex Su. s.v. ἐπίχειρα, II 394, 4)

book 582a τὸ στόμιον τῶν αὐλητῶν· ἐν γὰρ ταῖς ἐξόδοις τῶν τραγικῶν ηὔλουν. R

book 582b ἐν φορβειᾷ: φορβειά V* [φορβειαί(αὶ) ΓLhAld] ἐστι V [εἰσι ΓAld λέγονται Lh] τὰ δέρματα τὰ περὶ τὰ στόματα VΓ [τὸ στόμα LhAld] τῶν αὐλητῶν προσδεσμευόμενα VΓ [προσδεδεμένα LhAld], ὅπως ἂν σύμμετρον τὸ πνεῦμα πεμπόμενον ἡδεῖαν τὴν φωνὴν τοῦ αὐλοῦ VΓAld [αὐλητοῦ Lh] ποιήσῃ. ὃ δὲ λέγει, τοῦτό VΓAld [τοιοῦτόν Lh] ἐστιν (.) , ὅτι Lh ἐπὰν νικήσῃ

αὐλητής, ἀντίδοσιν τούτου ποιῶν Lh προπέμπει ἡμᾶς μετὰ τοῦ V αὐλοῦ. ἔθος δὲ VΓAld [γὰρ Lh] ἦν ἐν ταῖς ἐξόδοις τῶν τῆς τραγῳδίας χορικῶν προσώπων προηγεῖσθαι αὐλητήν, ὥστε αὐλοῦντα προπέμπειν VΓLhAld , ὅπερ ἔλαβεν εἰς ἰδιότητα τῶν δικαστῶν ὁ Φιλοκλέων. VΓAld

book 582b, col. 2 · ἔλαβε δὲ τοῦτο ὁ Φιλοκλέων ὡς ἴδιον τῶν δικαστῶν. Lh

book 582c ὅτι οὕτω περὶ τὸ στόμα εἶχον οἱ δικασταί. V

book 582d ἐν φορβειᾷ κτλ.] τῷ δέρματι τῷ περὶ τὸ στόμα τῶν αὐλητῶν προδεδεμένῳ. Lh

book 582e ἔξοδον κτλ.] ἐν ταῖς ἐξόδοις ηὔλουν Γ3 [ηὔλησεν Lh]. Γ3Lh

book 583a ἐπίκληρον: ἐπίκληρος λέγεται ΓAld ὁ VΓ [ἡ Ald] νῦν καλούμενος VΓ [καλουμένη Ald] μονοκληρονόμος. VΓAld

book 583a, col. 2 τὸν καλούμενον νῦν μονοκληρονόμον. Lh

book 583b τῷ κτλ.] ὁ πατήρ τινι ἐκδοθῆναι κελεύει Γ3Lh καταλιπὼν V τὴν θυγατέρα. VΓ3Lh

book 583c ὅταν δὲ παῖς ... πατροῦχον. (ex Su. s.v. ἐπίκληρος (pr.), II 361, 2—9) νόμος δὲ ἦν Ἀθήνῃσιν γνησίας ... πατρῷα. (ex Su. s.v. ἐπίκληρος (alt.), II 361, 10sq.)

book 584 κλαίειν ἡμεῖς] οὕτως Ἀττικοί. Γ3

book 585a καὶ τῇ κόγχῃ: τοῖς σημείοις. VΓAld ὡς κόγχας ἐπιτιθέντων ταῖς σφραγῖσι(ν) φυλακῆς ἕνεκεν R [ἀσφαλείας ἕνεκα VΓAld]. RVΓAld “κόγχῃ” δὲ τῷ κογχυλίῳ τῷ ἐπικειμένῳ ταῖς σφραγῖσι διὰ τὸ V [τῷ ΓAld] μὴ ἀφανίζεσθαι τοὺς τύπους αὐτῆς. VΓAld

book 585b ὅτι ἐν ταῖς σφραγῖσι ταῖς ἐν τοῖς γραμματείοις κόγχην ἤτοι κογχύλιον ἐπιτιθέασιν, ὅπως μὴ ἀφανίζοιντο οἱ τύποι αὐτῶν· οἶμαι δέ, ὅτι ἔριον ἐπετίθουν ἐκ κογχύλης βεβαμμένον. Lh

book 585c τῇ κόγχῃ] τῷ κογχυλίῳ. Lh

book 585d πάνυ Γ3 σεμνῶς Γ3Lh] μετὰ πολλῆς Γ3 [μετ’ Lh] ἐπιμελείας. Γ3Lh

book 585e τοῖς σημείοισιν ἐπούσῃ Γ3Lh] ταῖς σφραγίσιν (.) Γ3Lh ἐπικειμένῃ. Lh

book 586 ἔδομεν ταύτην: ἐκδίδομεν αὐτήν, φησίν, τῷ δωροδοκοῦντι ἡμᾶς. ΓLhAld

book 588 μακαρίζω: λείπει ἡ κατά. τοῦτό σε, φησίν, μακαρίζω, τὸ ἀνγεκλήτως πράττειν. VΓLhAld

book 589a πέπαικται πρὸς τὴν κόγχην. R

book 589b ἀνακογχυλιάζων: πρὸς τὴν κογχύλην πέπαιχεν. λέγουσι δὲ βραχέως τὴν τετάρτην συλλαβὴν τοῦ ἀνακογχυλιάσαι. VΓAld λέγεται δὲ ἀντὶ τοῦ κωλύων. ΓAld

book 590 ἔτι δ’ ἡ βουλὴ χ’ὠ δῆμος: ἡ βουλὴ καὶ ὁ δῆμος, VΓAld ἤγουν Lh ὅταν ἀπορήσῃ VΓAld [ἀπορήσωσι Lh] τοῦ Lh πράγματος, τοῖς δικασταῖς ἐπιτρέπει VΓAld* [ἐπιτρέπουσιν Lh]. VΓLhAld

book 592a Εὔαθλος] οὗτος ῥήτωρ (.) RLh συκοφάντης. Lh

book 592b Εὔαθλος: Εὔαθλος ῥήτωρ συκοφάντης, οὗ μνημονεύει καὶ ἐν Ἀχαρνεῦσι καὶ ἐν Ὁλκάσιν οὕτως· ἔστι 〈τισ〉 πονηρὸς ὑμῖν τοξότης συνήγορος, ὥσπερ Εὔαθλος. μνημονεύει δὲ αὐτοῦ καὶ Πλάτων ἐν Πεισάνδρῳ καὶ Κρατῖνος ἐν Θρᾴτταις. Κολακώνυμον δὲ εἶπε τὸν Κλεώνυμον· εἴρηται δέ, ὅτι κόλαξ καὶ ῥίψασπις Ald.

book 593* τὸ δὲ “οὐχὶ προδώσειν ἡμᾶς”, VΓAld ἐπεὶ Ald ἐπιλέγουσι γὰρ Lh τὰ τοιαῦτα οἱ ῥήτορες, ὡς “ὑπὲρ VΓAld [“περὶ Lh] ὑμῶν ἀγωνίζομαι καὶ οὐχὶ προδώσω τὴν πόλιν”. VΓLhAld

book 592c Κολακώνυμος: ἀντὶ τοῦ R [ἤγουν Lh] ὁ Lh Κλεώνυμος. RLh

book 592d ἀσπιδαποβλής] εἴρηται γάρ, Lh ὅτι ῥίψασπις ὁ Κλεώνυμος (.) VΓ3Lh, εἴρηται. Γ3

book 593 οὐχὶ προδώσειν κτλ.] ὅπερ ἐστὶ κόλακος ῥῆμα. VΓ3Lh

book 594 κἀν τῷ δήμῳ γνώμην: ὅτι VΓAld ὁ LhAld δημηγορῶν ἐν τῷ δήμῳ, φησίν, οὐκ ἰσχύει τῆς νικῆς τὴν ψῆφον ἄνευ τῆς κρίσεως τῶν δικαστῶν, εἰ μὴ πρότερον πρὸς μίαν δίκην δικάσαντες οἱ

δικασταὶ παρεῖεν καὶ ἐπιτρέψωσιν VLh ἐπιτρέψουσιν Γ [ἐπιτρέψειεν Ald] (.) VΓLhAld, ὅπως τὸ ἅπαξ κυρωθὲν κύριον εἴη. Lh

book 594/5 ἐὰν μὴ εἴπῃ τὰ δικαστήρια: οἷον μηκέτι ἔχειν τινὰ V [τὴν ΓAld] ἐξουσίαν ἄδικον ποιῆσαι, ἀλλ’ ἅπαξ κριθῆναι ὑπὲρ τούτων καὶ μὴ γενέσθαι ὑπερβόλιμόν τινι ποιήσασθαι ἐπὶ τῶν γνωμῶν καὶ τῶν ψηφισμάτων, ἀλλὰ τὸ ἅπαξ κριθὲν κύριον εἶναι. VΓAld

book 596a αὐτὸς: κατ’ ἐξοχὴν τὸ “αὐτός”. Γ3LhAld

book 596b ὁ κεκραξιδάμας] ὁ τῇ βοῇ δαμάζων (.) Γ3LhAld καὶ θορυβῶν. Γ3Lh

book 596c οὐ περιτρώγει] οὐ δωροδοκεῖ. Γ3Lh

book 597a φυλάττει κτλ.] ὅτι Γ3 ὑπηρετεῖ καὶ διὰ χειρὸς ἔχων θεραπεύει. Γ3Lh

book 597b ἀπαμύνει] ἤγουν ἀποσοβεῖ. Lh

book 599a καίτοὐστὶν] “καίτοι ἐστὶν” τὸ ἐντελές. Γ3

book 599b Εὐφημίου: ὅτι Εὐφήμιος VΓAld [οὗτος Lh] τῶν ἄγαν ἐπὶ κολακείᾳ διαβαλλομένων ἐστίν, ᾧ παρείκασε VΓAld [παρεικάζει Lh] τὸν Θέωρον (.) VΓLhAld (600) διὰ κολακείαν τὰ ὑποδήματα τῶν δικαστῶν ἀποψῶντα καὶ ἀλείφοντα. μετῆκται δὲ ἀπὸ τῶν ἀγγείων· κυρίως γὰρ περικωνῆσαί ἐστι τὸ πισσῶσαι τὰ κεράμια. VΓAld

book 600 περικωνεῖ] κύκλῳ περιψᾷ. Γ3Lh

book 603 ἔμπλησο] κορέσθητι. Γ3Lh

book 604a πρωκτὸς λουτροῦ: ἐπὶ τῶν βιαζομένων εἰς κακὸν αὐτοῖς· καὶ παροιμία ἐπὶ τῶν μὴ δυναμένων νίψασθαι τῆς κοιλίας φερομένης συνεχῶς. R

book 604b πρωκτὸς λουτροῦ: παροιμιακὸν τοῦτο VΓAld [παροιμία ἐστὶ Lh] τὸ “πρωκτὸς λούτρου περιγίνεται” Lh ἐπὶ τῶν ἐπὶ κακῷ τῷ ἑαυτῶν νικώντων· ἢ ΓLhAld ἐπὶ τῶν ἀεὶ μολυνομένων καὶ βιαζομένων καθαίρεσθαι. VΓLhAld ὁ γὰρ πρωκτὸς πλυνόμενος περιγίνεται τῆς καθάρσεως καὶ ἔτι μολύνεται καὶ μᾶλλον ἐν τῇ ῥύσει τῆς γαστρός. LhAld εἴρηται δὲ ἀπὸ τῶν τὴν γαστέρα φερομένην ἐχόντων καὶ ἐν τῷ ἀπολούεσθαι νικωμένων τῇ φθορᾷ VΓ [φορᾷ Ald]. VΓAld

book 604c Εὐφρόνιος μὲν ὡς τῆς εἰκόνος αὐτοῦ ματαίας οὔσης, ὅτι ”“ματαίων ἐπιθυμεῖς”· καὶ γὰρ τὸ μέρος ἐκεῖνο πλυνόμενον ἔτι μολύνεται”. Καλλίστρατος δὲ “παροιμία” φησὶ ”“πρωκτὸς λουτροῦ περιγίνῃ” ἐπὶ τῶν βιαζομένων εἰς κακὸν ἑαυτοῖς V [ἑαυτούς ΓAld], ὡς εἴ τις βιάζοιτο μὴ ἀποπλύνεσθαι”. VΓAld

book 604d πρωκτὸς λουτροῦ] ἤγουν ματαίων ἐπιθυμῶν. Lh

book 604e τῆς περισέμνου] κατ’ εἰρωνείαν “τῆς περισσῶς σεμνῆς”. Lh

book 606a ὅταν οἴκαδ’ ἴω: ὅτι παλαιὰ ἡ διὰ τῶν ΓLhAld γυναικῶν VΓLhAld τημελία· καὶ οὕτως ἐτημέλουν τοὺς πατέρας καὶ γέροντας, VΓAld

book 606a, col. 2 ἐπιμέλεια· οὕτω γὰρ ἐπεμέλοντο τῶν πατέρων γεγηρακότων, Lh

book 606a ὥστε μετὰ τὸ νίψαι VΓAld [ἀπονίψαι Lh] ἀλείφειν τοὺς πόδας αὐτῶν Lh. Εὐφρόνιος δὲ καὶ τοὺς παρ’ Ὁμήρῳ “λιπαροὺς πόδας” οὕτως ἀποδιδόναι τινάς φησιν. VΓLhAld

book 606b εἰσήκονθ’] προσιόντα. VΓ3Lh

book 608 ἀπονίζῃ] ἀποκαθαίρῃ ἀπονίπτρῳ. Lh

book 609a παππάζους’] παππίαν καλοῦσα. Γ3Lh

book 609b ἐκκαλαμᾶται: ἀποσπᾶται V [ἀποσπᾷ ΓLhAld] (.) VΓLhAld· ἀπὸ τῶν διὰ καλάμου τοὺς ἰχθῦς V [ἰχθύας ΓAld] ἀγρευόντων. VΓAld

book 610

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φυστὴν μάζαν: φυστὴ μάζα VΓAld ποιὰ Γ [ἡ Ald] ἐξ ἀλφίτου VΓ [ἀλφίτων LhAld] καὶ οἴνου κατεσκευασμένην Lh. ὀξυτόνως δέ, ὥς φησι(ν) καὶ Γ Ἡρωδιανός. VΓLhAld

book 612 ἔντραγε] ἐντρύφησον. Γ3Lh

book 613 ὁπότ' ἄριστον παραθήσει] τὸ ἐπαχθὲς τῶν οἰκετῶν σημαίνει. VΓ3Lh

book 614a τονθορύσας κτλ.] γογγύσας καὶ καθ' ἑαυτὸν φθεγγόμενος Lh. ἔστι δὲ ποιὰ φωνή. Γ3Lh

book 614b μάξῃ] ἀριστοποιήσῃ. VΓ3

book 615a τάδε κέκτημαι: τὰ ἐκ τοῦ R δικαστηρίου χρήματα. RVΓ3LhAld

book 615b σκευὴν: ἀντὶ τοῦ RV ὅπλα R [πανοπλίαν VΓ3LhAld]. RVΓ3 LhAld

book 615c ἀλεωρὴν] σκέπην. VΓ3LhAld

book 616a τινὲς “τὸν ὄνον” ἀντὶ τοῦ “οἰνηρὸν ἀγγεῖον.” R

book 616b τὸν ὄνον: ὄνος Lh εἶδος ἀγγείου· ἴσως VΓLhAld δὲ διὰ τὸ Ald διάπλασμα ἔχων V [ἔχειν ΓAld] ὄνου μορφήν. VΓAld

book 616b, col. 2 κατεσκευασμένον εἰς ὄνου μορφήν. Lh

book 617a κλίνας] ἀνακλιθείς. VΓ3Lh

book 617b οὗτος: ὁ ὄνος κεχηνώς. R

book 617c οὗτος δὲ: ὁ ὄνος· ἔπαιξε δὲ ὡς πρὸς τὸ ζῷον. VΓ3LhAld

book 618a βρωμησάμενος] βρωμᾶσθαί ἐστι τὸ πεινῶντα τὸν ὄνον ὀγκᾶσθαι. VΓ3LhAld

book 618b βρωμησάμενος] ὀγκησάμενος. Γ3

book 618c δῖνος ἀγγεῖον. R

book 618c, col. 2 δίνου] ἀγγείου. Lh

book 618d δίνου: δῖνος ἀγγεῖόν τι κεράμειον οἴνου VAld , οἷον πρόχυμα, V βάσιν οὐκ ἔχον, ἀλλὰ κάτωθεν ὑπότροχον V [στρογγύλον κάτω LhAld]. “στράτιον” δὲ τὸ εἰς πολλοὺς τῶν στρατευομένων LhAld διῆκον· ἐχρῶντο γὰρ καὶ κήρυξιν ἐν τοῖς στρατεύμασιν. VLhAld

book 618e στράτιον: τὸ εἰς πολλοὺς τῶν στρατευομένων Lh διῆκον. RLh

book 621 ἅπερ ὁ Ζεύς: ἃ τῷ Διὶ εἰώθασι λέγειν. LhAld

book 624 624] παρὰ τὰ εἰωθότα λέγεσθαι ὑπὸ V [παρὰ LhAld] τῶν ἀνθρώπων ἐπὶ τοῦ VΓ3 ὑπερβάλλοντος φόβου (.) VΓ3LhAld παίζει δέ. VΓ3

book 624, col. 2 λέγει (.) LhAld τὸ “βροντᾷ” καὶ τὰ ἑξῆς. Lh

book 625a ὦ Ζεῦ βασιλεῦ] παίζει ἐνταῦθα. Lh

book 625b κἂν ἀστράψω: οἷον VΓ3 φόβον κατ' ἀρχὴν δείξω. VΓ3LhAld

book 626 ποππύζουσιν: ἔθος γὰρ LhAld ταῖς ἀστραπαῖς ποππύζειν. VΓ3LhAld

book 626/7 κἀγκεχόδασί με κτλ.] καὶ τὸ “κεχόδασι” Lh παρὰ τὸ εἰωθὸς γίνεσθαι ὑπὸ τῶν φοβουμένων VΓ3Lh παίζει. VΓ3

book 626/7, col. 2 λέγει Lh, ὅτε βρονταὶ καὶ ἀστραπαὶ γίνονται, παίζων. LhAld

book 631a στροφή. lhAld

book 631b καθαρῶς] ἀντὶ τοῦ καλῶς. VΓ3

book 634a σύστημα. lhAld

book 634b ῥᾳδίως τρυγήσειν] παροιμία “οὐκ ἐρήμας τρυγήσεις”. VΓAld

book 634c

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀλλ’ ἐρήμας ᾤεθ’ οὕτω: παροιμία ἐστὶ τὸ “ἐρήμας τρυγήσεις” Lh ἐπὶ τῶν ἀδεῶς τι VΓltAld πραττόντων ὡς μηδενὸς αὐτοῖς ἀντιπράττοντος (.) RVΓltAld “ἐρήμας τρυγήσεις” R [τρυγήσειν” VΓAld]. RVΓAld ἔστι δὲ ἀπὸ τῶν τὰς ἀμπέλους τηρούντων ἀφροντίστως. VΓAld

book 634c, col. 2 ἔστι δὲ ἀπὸ τῶν τὰς ἀμπέλους τρυγώντων τὰς μὴ φυλασσομένας. lt

book 634d ᾤεθ’ κτλ.] ἤγουν ὥστε οὔ τινα τὸν ἀντικείμενον εὑρεῖν. Lh

book 635a καλῶς γὰρ ᾔδειν: ἐν εἰρωνείᾳ· τοὐναντίον γὰρ παραδηλοῖ πειθόμενος. “οὕτως πιθανώτατα ἔμελλον ἐρεῖν”. VΓAld

book 635b γὰρ ᾔδειν κτλ.] ἠπιστάμην οὕτω πιθανώτατα ἐρεῖν, ἢ ὅτι ἐν τῷ δικάζειν ἰσχύω. Lh

book 635c ἤτοι ταύτῃ τῇ γνώμῃ, ὅτι τὸ δικάζειν βέλτιόν ἐστι τοῦ ἔνδον καθέζεσθαι, ἢ VΓAld ἀπὸ μεταφορᾶς τῶν πυκτῶν τῶν κατὰ τὴν ἑτέραν χεῖρα τὴν δύναμιν ἐχόντων (.) VΓLhAld καὶ λεγόντων οὕτω· “ταύτῃ κράτιστός εἰμι”, ἤγουν τῇ χειρί, καὶ ἐνταῦθα τὸ “ταύτῃ κράτιστός εἰμι” εἴρηκεν, ἤγουν ἐν τῷ δικάζειν ἰσχύω. Lh

book 635d ταύτῃ κράτιστός: τῷ αὐτῷ τρόπῳ ἐν τῷ δημηγορεῖν. VΓAld

book 636a στροφή. lhAld

book 636b ὡς δὲ πάντ’ ἐπελήλυθεν: θαυμάζει ὁ χορὸς τοῦ VΓ3 Φιλοκλέωνος τὴν κατάστασιν. VΓ3LhAld

book 639 δικάζειν: δέον εἰπεῖν “οἰκεῖν” “δικάζειν” VΓ3LhAld ἔφασαν ὡς φιλόδικοι. VΓ3

book 639, col. 2 εἶπεν ὡς φιλόδικος. LhAld

book 642a σύστημα. lhAld

book 642b σκορδινᾶται: σκορδινᾶσθαί ἐστιν, VΓLhAld ὃ ποιοῦσιν οἱ ἐξ ὕπνου ἀνιστάμενοι (.) RVΓAld καὶ μετὰ χάσμης τὰ μέλη ἐκτείνοντες. φησὶν οὖν, ὅτι VΓAld

book 642b, col. 2 ὡς προείρηται, τὸ ἐξ ὕπνου ἀνισταμένους τοὺς κύνας ἐκτείνειν τοὺς πόδας. ἤγουν Lh

book 642b χασμᾶται καὶ διατείνεται ὑπὸ τῆς VΓAld [ὑπ’ Lh] ἀθυμίας. VΓLhAld

book 642c σκορδινᾶται] χασμᾶται. Γ3

book 642d οὐκ ἐν αὑτοῦ] οὐκ ἔχει ἑαυτόν. VΓ3Lh

book 643a σκύτη βλέπειν: ὅ ἐστι RVΓAld [ἤγουν Lh] “πληγάς(ὰς) σοι RVΓAld ἐμβαλῶ”. RVΓLhAld καὶ τοῦτο, φασίν, παροιμία, ἐπὶ τῶν ἐγγιζόντων κακῷ τινι. R

book 643a, col. 2 παροιμία δὲ ἐλέγετο, ἐπὶ τῶν δειλιώντων. VΓLhAld

book 643b μέμνηται τῆς παροιμίας Εὔπολις (4) … (7) ἐπὶ τῶν ὑποψιαστικῶς διακειμένων … (8) κακά. (ex Zenobio VI 2, Par. Gr. I 161, 4—8)

book 644a στροφή. lhAld

book 644b πλέκειν] ἤγουν κατασκευάζειν. Lh

book 645a παλάμας] μηχανάς. VΓ3

book 645b παλάμας] ἔργα. Lh

book 646/7a πεπᾶναι] πραῧναι· ἀπὸ μεταφορᾶς τῶν καρπῶν. VΓ3

book 646/7b πεπᾶναι] μαλάξαι, ὑποχαλάσαι. LhAld

book 647 μὴ πρὸς ἐμοῦ λέγοντι: ἀντὶ τοῦ VΓAld μὴ ὑπὲρ ἐμοῦ, μὴ ἀρέσκοντά μοι (.) RVΓLhAld λέγοντι. RVΓAld πάντως γὰρ κατὰ τοῦ δικάζειν ἔμελλε λέγειν. VΓAld

book 648 μύλην ἀγαθὴν: νεοκατασκεύαστον μύλην· VΓAld καὶ Ὅμηρος δὲ V θηλυκῶς ἔφη V [λέγει ΓLhAld] ἥ ῥα μύλην στήσασα. VΓLhAld

book 649

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κατερεῖξαι: καταθραῦσαι (.) RVΓLhAld· ἀφ’ οὗ καὶ τὸ 〈ν〉 ἐρεγμὸν ἀξιοῦσί τινες. VΓAld τὸ “κατερεῖξαι” Lh ἀπὸ VΓAld [ἐκ Lh] μεταφορᾶς VLh εἴρηται Lh τῶν ἐρεικομένων VΓAld [κατερεικομένων Lh] ὀσπρίων, ὅθεν καὶ τὸ “ἐρεικόμενος περὶ δουρί”. VΓLhAld εἴρηται δ’ ἐν τοῖς Βατράχοις. Ald

book 650a δεινῆς γνώμης: ἀντὶ τοῦ VΓAld μείζονος , φησίν, γνώμης ἐστὶν Lh ἢ κατὰ κωμῳδίαν ἐστὶ VΓAld τὸ ἰᾶσθαι VΓAld [ἰάσασθαι Lh] νόσον πεπαλαιωμένην ἐν τῇ πόλει· λέγει δὲ τὸ φιλόδικον. VΓLhAld διὰ τοῦτο καὶ ἐπικαλεῖται τὸν Δία. Lh

book 650b ’πὶ τρυγῳδοῖς] ἤγουν ἐν κωμῳδίᾳ. Lh

book 651a νόσον ἀρχαίαν] τουτέστι τὸ φιλόδικον. Lh

book 651b ἀρχαίαν] πεπαλαιωμένην. Lh

book 651c ἐντετοκυῖαν] ἐμφωλεύσασαν V [ἐμφωλεύουσαν Γ3Ald]. VΓ3Ald

book 651d ἐντετοκυῖαν] γεννηθεῖσαν. LhAld

book 652 μὴ πατέριζε: πατέρα κάλει. ΓLhAld ἔμελλε δὲ εἰπεῖν· “σοὶ πάντα δυνατά ἐστιν, ὦ Ζεῦ”, ΓAld

book 652, col. 2 “σοὶ πάντα δυνατά ἐστιν”, ὤφειλεν εἰπεῖν, “ὦ Ζεῦ”, Lh

book 652 καὶ διέκοψεν αὐτὸν ὁ Φιλοκλέων. ΓLhAld

book 654a κἂν χρὴ: κἂν ὡς ἀνδροφόνος λογισθῶ καὶ τῶν θυσιῶν μὴ μεταλαβών V [μεταλάβω Ald]. VΓAld πρὸς VLh [κατὰ Γ*Ald] τὸ ἔθος δέ VΓAld, ὅτι οἱ ἀνδροφόνοι οὐ μεταλαμβάνουσι τῶν Lh θυσιῶν. RVΓLhAld φησὶν οὖν, ὅτι οὐκ ἔστιν, ὡς οὐ τεθνήξῃ, κἂν ὡς ἀνδροφόνος λογισθῶ. Lh

book 654b τεθνήσει] “τεθνήξῃ” ἀττικῶς. Lh

book 654c σπλάγχνων μ’ ἀπέχεσθαι] θυσιῶν μὴ μεταλαβεῖν. Lh

book 655a παππίδιον: ὑποκοριστικῶς πάππε.

book 655b χαλάσας: ἤγουν Lh παυσάμενος τῆς ὀργῆς. Γ3LhAld ἔθος γὰρ τοῖς ὀργιζομένοις αἴρειν τὰς ὀφρῦς. LhAld

book 656a ὡς πρὸς τὸ φιλόδικον εἶπεν. φαύλως δὲ ἀντὶ τοῦ ἁπλῶς. R

book 656b μὴ ψήφοις, ἀλλ’ ἀπὸ χειρός: πολλαχοῦ δῆλον, ὅτι VΓAld ψήφοις ἐλογίζοντο οἱ παλαιοί, ἀφ’ οὗ τὸ ψηφίζειν. VΓLhAld νῦν δὲ καὶ ταῖς δικαστικαῖς ψήφοις, πρὸς ὃ παίζει. VΓAld

book 656b, col. 2 νῦν δὲ καὶ τὰς δικαστικὰς λέγει ψήφους, παίζων διὰ τὸ φιλόδικον αὐτῶν. Lh

book 656b τὸ δὲ 〈φαύλως ἀντὶ τοῦ〉 ἁπλῶς, ἀφελῶς. ὡς φιλόδικος δὲ εἶπε “ψήφοις”. VΓAld

book 656c λόγισαι] λογαρίασον, ἀρίθμησον. Lh

book 656d ψήφοις] λεπτοῖς λίθοις. Lh

book 656e ἀπὸ χειρός] ἤγουν μετὰ τῶν δακτύλων τῶν σῶν ἀρίθμησον. Lh

book 658 κἄξω τούτου: καὶ ἡ VΓ [τὴν Ald] ἔξω διδομένη RVΓ [διδομένην Ald] τοῖς δικασταῖς δραχμή R*VΓ [δραχμήν Ald]. ἑκατοστὰς δὲ τὰς VΓAld ὑπὲρ τοῦ τέλους χορηγουμένας (.) RVΓAld ἀπὸ τῶν πόλεων. VΓAld

book 659a πρυτανεῖα: πρυτανεῖα λέγει τὰς δεκάτας, Lh ἃς κατέβαλλον δεκάτας τῶν χρεῶν VΓAld οἱ δανεισταὶ ὑπὲρ παραστάσεως τῶν χρεωφειλετῶν, ὅπως VLh [ὡς ΓAld] ἂν ἀπαιτηθῶσιν, ἅπερ ἦσαν τέλη· καὶ τὰ ὑπὲρ τῶν μετάλλων τοῦ ἀργυρίου εἰσοδιαζόμενά VΓAld [εἰσφερόμενά Lh] φησι καὶ τὰ ἀπὸ τῆς ἀγορᾶς καὶ τῶν λιμένων τέλη ὑπομιμνῄσκει. VΓLhAld

book 659b μισθούς] τοὺς Γ3 φόρους. Γ3Lh

book 659c δημιόπρατα: ἐδήμευον γάρ τινας καὶ τὰς οὐσίας αὐτῶν κοινὰς ἐποίουν VΓ3 [ἐποίουντο LhAld] (.) VΓ3LhAld πᾶσιν. VΓ3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 660 τάλαντ' ἐγγὺς: τὸ ἐγγὺς ἀντὶ τοῦ ΓAld πᾶσιν R, V? ὁμοῦ. RVΓAld τοῖς ἑξακισχιλίοις γάρ VΓLhAld, φησίν, ἑκατὸν πεντήκοντα γίνεται Lh τάλαντα τοῦ ἐνιαυτοῦ. RVΓLhAld

book 662a "δικασταί" λείπει. R

book 662b πλείους κτλ.] οὐ γὰρ πλείους κατενάσθησαν VΓ3 [κατεβλήθησαν Lh] τῶν ἕξ. VΓ3Lh

book 663 ἑκατὸν δήπου καὶ ν': εἰς δέκα μῆνας λογίζεται τὸν ἐνιαυτὸν ὡς τῶν δύο μηνῶν Lh εἰς ἑορτὰς προχωρούντων. ἑκάστῳ γὰρ τριώβολον τῆς ἡμέρας διδόμενον Lh δεκαπέντε τοῦ μηνὸς τάλαντα ἐποίει (.) VΓLhAld, ὡς ἐκ τῶν ἑξῆς δῆλον γίνεται. VΓAld

book 666a εἰς τοὺς δημαγωγοὺς καὶ δικαστὰς καὶ λέγοντας τὸ "οὐχὶ προδώσω". R

book 666b ἐς τούτους: εὖ τὸ μή, ὡς ἔτυχεν, εἰπεῖν τὸ πλῆθος, ἀλλὰ τὴν ἀταξίαν VΓ3Lh [ἀλλ' ἀταξίαν Ald] προσονειδίσαι. VΓ3LhAld

book 668 περιπεμφθείς: ἀπατηθείς(εὶς) (,) καὶ R κολακευθείς(εὶς) (.) RVΓ3LhAld καὶ θεραπευθείς. R

book 669 οὗτοι μὲν κτλ.] οἱ ῥήτορεσ, φησίν, Lh ἢ οἱ στρατηγοί, ὅτε δωροδοκοῦσιν, οὐκ ὀλίγα λαμβάνουσιν, ἀλλὰ πεντήκοντα τάλαντα, ἀντὶ τοῦ VΓ3 [ἤγουν Lh] πολλά. VΓ3Lh

book 672 τοὺς ἀργελόφους: τὰ περιττὰ καὶ ἄχρηστα. RVΓLhAld ἀργέλοφοι(οί) γὰρ VΓAld [εἰσι Lh] τῆς μηλωτῆς VΓLhAld οἱ πόδες, οὓς ποδεῶνας καλοῦσιν, καὶ οὗτοι ἄχρηστοι. VΓAld

book 672, col 2 τὰ κράσπεδα, οὓς ποδεῶνας καλοῦσιν· οὗτοι δὲ ἄχρηστοί εἰσιν. Lh

book 673 σύρφακα: τὸ ἱκανὸν πλῆθος τῶν δικαστῶν τὸ συρφετῶδες. VΓ3LhAld

book 674a ἐκ κηθαρίου: ἤγουν Lh ἐξ εὐτελῶν τρεφόμενον. τὸ Lh κηθάριον γὰρ VΓAld πλέγμα τι Lh ἐστὶ κανισκῶδες ἐπιτιθέμενον τῇ κληρωτρίδι τῶν ψήφων. "λαγαριζόμενον" δὲ ἀντὶ τοῦ Lh τὰ VΓAld λαγαρὰ ἐσθίοντα, ὅ ἐστιν εὔθραυστα καὶ εὐτελῆ τινα. VΓLhAld

book 674b κήθια V [κηθάρια ΓLhAld] λέγει Lh τὰ ὀξύβαφα, ἐξ ὧν τοὺς κύβους ἠφίεσαν· πλεκτὰ δὲ ἦν VΓAld [ἦσαν VLh] καὶ Lh ταῦτα. VΓLhAld

book 674c ἐκ κηθαρίου: τὰ ἐκπέταλα τρύβλια, ἃ Εὐφρόνιος κήθια· "μικρὸν οὖν ῥοφοῦντα ἐκ τρυβλίου καὶ τρωγαλίζοντα, οἷον κυάμους καὶ ὅσα τοιαῦτα". οὐκ ἔστι δέ, ἀλλ' ἀγγεῖον πλεκτόν, εἰς ὃ τὰς ψήφους καθιᾶσιν, τὸ κήθιον, οἷον ὡς ἀπὸ τοῦ ψηφηφορεῖν V [ψηφοφορεῖν ΓAld] οὖν μόνον 〈τρεφόμενον〉. καὶ Χαῖρις δὲ τὸ κήθιον τρυβλίου τι εἶδος καὶ τὸ λαγαρίζειν τὸ ἀποτρώγοντα θηλάζειν. μήποτε μέντοι καὶ πρὸς τὴν τῶν κύβων παιδιὰν ὁμοίως ἐχρῶντό τινι βάλλοντες ἐξ αὐτοῦ· καὶ γὰρ Ἕρμιππος ἐν Θεοῖς· καὶ πρὸς κύβους ἕστηκ' ἔχων τὸ κήθιον. τὸ δὲ λαγαρίζεσθαι ἕτερόν τι ἔοικεν ἐμφαίνειν· Φερεκράτης Μυρμηκανθρώποις VΓAld ἀντὶ τοῦ σκαλεύειν· ἆρά ποθ' ὑμεῖς καὶ τῆς ὀροφῆς τὸν χοῦν κατὰ τῆς κεφαλῆς κατακοιμήσονται λαγαριζόμενοι.

book 674c V

book 674d ἴσως ἂν οὖν λέγοι ἤτοι ἐκ τῶν ἀγγείων τῆς ψήφου ἀποξύοντας τὸν μισθὸν ἢ ἐξ ἄγγους τινὸς πλεκτοῦ, οἷον ὁ κάρταλος, τραγαλιζομένους ὡς ἂν πένητας. VΓAld

book 674d, col 2 ἴσως οὖν λέγει, ὅτι ἐκ τοῦ ἀγγείου τῶν ψήφων ἀποξύοντα τὸν μισθὸν καὶ τραγαλίζοντα ὡς ἂν πένητα. τραγαλίζειν δὲ τὸ ἐσθίειν. Lh

book 674e λαγαριζόμενον: ἀντὶ τοῦ VΓAld ἀποξύοντα ὡς ἀπὸ τῶν δικαστικῶν ἀγγείων· ταῦτα δὲ ὡς περὶ πενήτων. VΓLhAld

book 674f τραγαλίζοντα: ἐσθίοντα. R

book 675a Κόν[νος] κιθαρῳδὸς ἦν π**ς. R

book 675b Κόννου ψῆφον: Καλλίστρατος παροιμίαν φησὶ "Κόννου θρῖον", παρ' ἣν παίζει· Εὐφρόνιος δέ, ὅτι ἐλέχθη διὰ τὸ ἡδύν τινα τὸν Κόννον εἶναι· οἱ δὲ Κόννον λέγεσθαι τὸν κιθαριστήν. μήποτε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δὲ οὐδὲ ὅλως ἐστὶ Κόννος, ἀλλὰ Κόννας, ὃν οὐδὲ 〈Κοννᾶσ〉 προενεκτέον, ἀλλὰ ἐπὶ βαρύ, ὡς Μίδας. “Κόννου ψῆφος”, οἷον τὸ μηδέν. VΓAld

book 675c Κόννος εὐτελής. VΓAld Κόννος γὰρ VΓAld [οὗτος Lh] τὰ πατρῷα κατέφαγε καὶ πένης ἦν. “ψῆφον” δὲ εἶπε διὰ τὸ περὶ δικαστοῦ λέγειν. VΓLhAld.

book 675d κιθαρῳδὸς ἦν νέος. VΓAld ἔστι δὲ παροιμία VΓltAld ἐπὶ τῶν μηδὲν VΓAld [μηδενὸς Taur] ἀξίων. VΓAldTaur

book 675e Κόννου ψῆφον: ἐπὶ τῶν οὐδενὸς ἀξίων. ὁ δὲ Κόννος λυρῳδὸς ἦν, ὥς τινές φασιν, τῶν ἀφώνων· ὡς δέ τινες, κιθαρῳδός.

book 676a ὕρχας: κεράμεα R κεράμια V κεράμεια Lh [κεράμινα ΓAld] ἀγγεῖα (.) RVΓLhAld ὑποδεκτικὰ ταρίχων δύο ὦτα VΓAld [ὠτία Lh] ἔχοντα. VΓLhAld

book 676b δάπιδας: τὰς ψιλὰς (17) ... (18) τοῖς τάπησιν. ἐν δέ τισι τῶν ἀντιγράφων “δάπισιν” εὕρηται ἐν τῷ Πλούτῳ· “οὐδ’ (18) ... (19) καταδαρθεῖν”, ἀντὶ τοῦ “τάπησιν”. (ex Su. s.v. δάπιδας, II 6, 17—19)

book 676c σήσαμα] τὸν καρπόν φησιν. VΓ3Lh

book 678a ἐφ’ ὑγρᾷ] ἤγουν τῇ θαλάσσῃ. Lh

book 678b πιτυλεύσας: πίτυλος καλεῖται ἡ καταβολὴ τῆς κώπης. RVΓAld

book 678c πιτυλεύσας] ἤγουν καταβαλών. Lh

book 678d καὶ κτυπητής, φαντασιοσκόπος. (21) (22) καὶ πυτιλίζω (sic) ῥῆμα, ὡς τὸ “οἷόν ἐστιν ... (23) πιτυλίζουσαν”. (ex Su. s.v. πίτυλος, IV 137, 21—23)

book 679 τοῖς κτλ.] τοῖς μικροῖς ἰχθύσιν V*Γ3Lh [ἰχθυδίοις Ald]. VΓ3LhAld

book 680a Εὐχαρίδης ΓAld ὄνομα σκοροδοπώλου. VΓAld

book 680b ἀγλῖθας: αἱ VΓAld κεφαλαὶ VΓAld [κεφαλὰς Lh] τῶν VΓAld σκορόδων. VΓLhAld

book 680c ὅτι V ἐξηγεῖται τὰς ἀγλῖθας· προεῖπε γὰρ οὐδεὶς οὐδὲ σκορόδου κεφαλὴν τοῖς ἑψητοῖσι δίδωσιν. ἄηθες δὲ καὶ τὸ “μετέπεμψα” ἀντὶ τοῦ “μετεπεμψάμην”. VΓAld

book 681a οὐκ ἀποφαίνων] οὐ φανεροποιῶν. VΓ3

book 681a, col. 2 φανερὰν ποιῶν. Lh

book 681b ἀποκναίεις: λυπεῖς, ὀδυνᾷς, ἀπολλύεις, ἀποκόπτεις (14), (15) παρεκτείνεις. “τί οὐ ... (16) Μισουμένῳ. (ex Su. s.v. ἀποκναίει, I 300, 14; s.v. ἀποκναίεις, ib. 15sq.)

book 684a τοὺς τρεῖς ὀβολούς: τὸν δικαστικὸν μισθόν, VLh τὸ τριώβολον (.) VΓLhAld νῦν τρεῖς ὀβολοὺς διαλελυμένως λέγει, ἤτοι τὸν δικαστικὸν μισθόν. Lh τοῦτο δὲ ἄλλοτε ἄλλως ἐδίδοτο τῶν δημαγωγῶν τὰ πλήθη κολακευόντων, ὥς φησιν Ἀριστοτέλης ἐν Πολιτείαις. VΓLhAld

book 684b τὸν φόρον λέγει, ἀφ’ ὧν ἐδίδοτο τὸ τριώβολον. VΓAld

book 687a μειράκιόν] οὐ λέγει τὸ ὄνομα αὐτοῦ. VΓ3Lh

book 687b κατάπυγον] πεπορνευμένον. LhAld

book 687c Χαιρέου υἱός: οἷον οὐδὲ γνήσιος πολίτης. VΓAld τὸν γὰρ VΓAld Χαιρέαν Εὔπολις ἐν Βάπταις VΓAld ὡς ξένον κωμῳδεῖ. VΓLhAld

book 688 τρυφερωθείς Γ [τρυφερανθείς Ald]: ἀντὶ τοῦ VΓAld μαλακῶς σταθείς. VΓLhAld

book 689 ἥκειν εἴπῃ] ἐν ἤθει ταῦτα. Γ3Lh

book 690a τοῦ σημείου] τοῦ ὡρισμένου καιροῦ. VΓ3

book 690b τὸ τριώβολον οὐ κομιεῖται: ὡς ἔθους ὄντος πρὸς σημεῖόν τι ἐκκείμενον ἀθροίζεσθαι τοὺς δικαστάς. RVΓLhAld ἐν ἤθει δὲ ταῦτα. LhAld

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 691a αὐτὸς δὲ φέρει τὸ συνηγορικόν: ὑπὲρ τοῦ συνηγορῆσαι. VΓAld ὅτι Lh ἐλάμβανον γὰρ VΓAld οἱ ῥήτορες δραχμήν, ὅτε ἐδημηγόρουν V* [συνηγόρουν ΓLhAld] ὑπὲρ τῆς πόλεως ἢ ὑπὲρ ἄλλου τινός. VΓLhAld

book 691b ὕστερος ἔλθῃ] ἐκ τοῦ ποιήματος VΓ3 [τούτου δὲ LhAld] φαίνεται, ὅτι μισθοφόρος ἦν LhAld ἡ ἀρχή. VΓ3LhAld

book 691c κληρωτοὺς γινομένους δέκα συνηγόρους Ἀριστοτέλης φησίν. VΓAld

book 693 ξυνθέντε] κακουργήσαντες. VΓ3Lh

book 694a ἐσπουδακότες. V

book 694b κᾆθ’ ὡς πρίονες Γ [πρίονα Ald]: ὡς οἱ πρίζοντες διαφιλονεικοῦσιν, τίς πρὸς ἑαυτὸν ἑλκύσει. VΓLhAld

book 695a σὺ δὲ χασκάζεις: ἀντὶ τοῦ ἐπιτηρεῖς, πότε ἔλθῃ ὁ κωλακρέτης καὶ ἐνέγκῃ σοι τὸ τριώβολον. κωλακρέτης δὲ VΓAld καλεῖται ὁ κατέχων τὰ χρήματα τῆς πόλεως. VΓLhAld

book 695b ἐπιτηρεῖς οὖν Lh, φησίν, ΓLhAld τὸν ταμίαν, ὁπότε R [πότε VΓLhAld] RVΓLhAld τὸν μισθὸν λήψῃ. RVΓAld

book 695b, col. 2 μέλλει ἐλθεῖν καὶ δοῦναί σοι τὸν μισθόν. Lh

book 695c ὁ ταμίας τοῦ δικαστικοῦ (16) ... (17) ἀναλωμάτων. (19) νόμος δὲ ἦν ... (20) κωλαί. (ex Su. s. v. κωλακρέται pr. et alt., III 171, 16sq.; 19sq.)

book 696a θῖνα: τὴν καρδίαν, ὡς ἄνεμος τὸν ἄμμον. R

book 696b τὸν θῖνα ταράττεις: ἀντὶ τοῦ Lh ἐκ βυθοῦ με κινεῖς, ἀντὶ τοῦ VΓAld [ἤτοι Lh] τὴν καρδίαν (.) VΓLhAld μου. Lh Εὐφρόνιος δὲ καὶ σεσημειῶσθαί φησιν, ὅτι τὸν θῖνα ἀρσενικῶς, ὡς καὶ Γ Ὅμηρος , εἴρηκεν Ald. VΓAld παρόσον VΓAld [[ὅ]τι Lh] καὶ ὁ θὶς ἐν βάθει τοῦ πελάγους κεῖται καὶ τὸ θυμικὸν ἐν τῇ καρδίᾳ (.) VΓLhAld, “τὸν θῖνα ταράττεις” εἶπεν. Lh

book 697 κοὐκ οἶδ’ ὅ τι χρῆμα: ἤγουν Lh εἰς τί με διαθήσεις. τοῦτο δέ VΓAld [τὸ “οὐκ οἶδα ὅ τι χρῆμά με ποιεῖς” Lh] φησιν(ὶν) ὡς ἤδη ἡττώμενος καὶ δεδοικώς, ὅτι ἐπὶ ξίφους τὰ VLh [τὸ ΓAld] τῆς δημηγορίας ἦν αὐτῷ. VΓLhAld

book 698 ἅπασιν] λείπει Γ3 “δικασταῖς” δηλονότι Lh. Γ3Lh

book 699a δημιζόντων: τῶν Γ3LhAld τὸν δῆμον ἀπατώντων. RΓ3LhAld

book 699b ἐγκεκύκλησαι] μεταβέβλησαι. Γ3LhAld

book 699c ἐγκεκύκλησαι: ἀνέστρεψαι.

book 701a πλὴν τοῦθ’ ὃ φέρεις: τοῦτο, ὃ φορεῖς, ἱμάτιον. ΓLhAld τὸ δὲ “ἀκαρῆ” ἐπίρρημα· ἀντὶ τοῦ βραχὺ καὶ οἰκτρόν. ΓAld

book 701a, col. 2 ἀντὶ τοῦ βραχὺ καὶ οἰκτρόν· ἔστι δὲ ἐπίρρημα. Lh

book 701b καὶ τοῦτ’ ἐρίῳ σοι: ἀπὸ VΓAld [ἐκ Lh] μεταφορᾶς τῶν τὰ ὦτα ἀλγούντων καὶ δι’ ἐρίου ἐπισταζομένων VΓAld [ἐπισταζόντων Lh] ἔλαιον κατὰ βραχύ(ὺ) (.) VΓAld τοῦτο λέγει. Lh ἐκ γὰρ τοῦ τριωβόλου τρεφόμενοι VΓLhAld καὶ εἰς κατασκευὴν ἱματίου ἀποθησαυρίζοντες V [θησαυρίζοντες ΓAld] ὀλίγον διὰ πολλοῦ χρόνου μόγις V [μόλις ΓAld] συνάγουσι τὴν πλήρη τιμὴν τοῦ ἱματίου. VΓAld

book 701b, col. 2 ἐκκόπτουσιν ἐκ τούτου καὶ μέρος τι καὶ ἀποτιθέασιν, ὡς ἂν καὶ ἱμάτιον ἐκ τούτου ποιήσωσιν, καὶ μόλις συνάγουσι καὶ διὰ πολλοῦ χρόνου τὴν ἱκανὴν τιμὴν τοῦ ἱματίου. (702) καὶ ἐπὶ τοῦ ἀλεύρου δὲ τοῦτο ποιεῖν εἰώθασιν· κατὰ βραχὺ γὰρ ὕδωρ ἐνστάζοντες οὕτω συνάγουσι καὶ ζύμην τὸν ἄλευρον καθιστῶσιν. Lh

book 702a

ὥσπερ ἄλευρον: ἡ εἰκὼν VΓAld ἀπὸ τῶν σφόδρα ἀρρωστούντων R [ἀσθενούντων VΓAld]. RVΓAld οἱ γὰρ κατὰ μικρὸν βουλόμενοι 〈ἐμ〉- βάλλειν 〈ἔλαιον〉 ἐρίῳ ἐνστάζουσιν. VΓAld

book 702b ἕνεχ'] ἕνεκα. Lh

book 703 τούτων … σοι] διὰ τί σε εἶναι βούλονται πένητα. Γ3

book 704a τιθασευτήν: ἓν ς διὰ τὸ μέτρον. LhAld τὸν θεραπεύοντά σε καὶ ἐκτρέφοντα V [τρέφοντα LhAld] καὶ κολακεύοντα. VLhAld

book 704b ἐπισίξῃ Γ [ἐπισίζῃ Ald]: Λυκόφρων καὶ οἱ περὶ VΓLhAld Ἐρατοσθένης R [Ἐρατοσθένην V?, ΓLh Ἐρατοσθένη Ald] τὸ ἐπαφιέναι τὰς V [τοὺς RΓLhAld] κύνας ἐπισίζειν ἔλεγον Lh. ἀπὸ τῆς ἐπιφθέγξεως (.) RVΓLhAld οὖν ἐπισίζειν λέγουσιν, καὶ τὸ ἐπιρρύξαι ἐφορμῆσαι ὁμοίως παρὰ τῆς φωνῆς. VΓLhAld

book 705 ἐπιρρύξας] ἐφορμήσας. Lh

book 707 πόλεις χίλιαι: ἀντὶ τοῦ πολλαί. τῷ ἀπηρτισμένῳ δὲ Lh ἀριθμῷ ἐχρήσατο ἀντὶ ἀορίστου Lh. VΓLhAld ἢ καὶ ἀπὸ ἱστορίας τὸ τοιοῦτον ἔλαβεν. VΓAld

book 709a δύο μυριάδες: ἐκ πολλοῦ φαίνεται περὶ τοσοῦτον ἀριθμὸν ἤγουν μυριάδας δύο Lh τὸ VLh [τῶν ΓAld] Ἀθηναίων πλῆθος περιίστασθαι. καὶ LhAld Δημοσθένης γάρ LhAld φησίν(ιν) “εἰσὶν ὁμοῦ δισμύριοι πάντες Ἀθηναῖοι” VΓ*Ald* [, ὅτι πάντες Ἀθηναῖοι εἰσὶ δισμύριοι Lh]. VΓLhAld

book 709b ἐν πᾶσι λαγῴοις: ἐν κρέασι λαγῴοις R [λαγῶν VΓAld], ἐν ἀγαθοῖς πᾶσιν. RVΓAld τοῦτο γὰρ δηλοῖ τὸ “ἐν πᾶσι λαγῴοις”, ἀντὶ τοῦ ἐν τρυφῇ. VΓAld

book 709c λαγῴοις: τοῖς τοῦ λαγωοῦ κρέασιν.

book 709d ἔζων κτλ.] ἤγουν ἐν τρυφῇ· οἱ γὰρ τρυφῶντες τοὺς λαγοὺς ἐσθίουσιν. Lh

book 710a καὶ πύῳ καὶ πυριάτῃ: πυριάτης VΓAld [πύον καὶ πυαρίτην λέγει Lh] τὸ πυρίεφθον ὑπό τινων προσαγορευόμενον, ὃ κατασκευάζουσιν ἐκ τοῦ πρώτου γάλακτος μετὰ τὸν τόκον. πῦον V [πύον ΓLhAld] δαινύμενοι καὶ ἐμπιπλάμενοι πυριάτην VΓAld [πυαρίτην Lh]. ὅθεν VΓLhAld τισὶν ἔδοξε πῦον V, R? [πύον ΓLhAld] μὲν εἶναι τὸ πρῶτον γάλα οὑτωσὶ λαμβανόμενον VΓLhAld, πυριάτην RAld [πυριάτης VΓ πυαρίτης Lh] δὲ τὸ ἑφθὸν γάλα. RVΓLhAld ὁ δὲ Παλαμήδης τὸ αὐτὸ λέγων εἶναι γράφει· “ἔθος δὲ τοῖς ποιηταῖς παραλλήλοις λέξεσιν ἰσοδυναμούσαις χρῆσθαι”. VΓAld

book 710b πύῳ κτλ.] ὅτι τὸ Γ3 πύον ἀρσενικῶς καὶ οὐδετέρως. Γ3Lh

book 710c πυαρίτῃ] ἑφθῷ γάλακτι. Lh

book 711 καὶ τοῦ 'ν Μαραθῶνι: ἐκεῖ γὰρ οἱ Ἀθηναῖοι ἐνίκησαν τοὺς Μήδους. ΓLhAld

book 712 ἐλαιολόγοι: εὐτελεῖς γὰρ οἱ τὰς ἐλαίας μισθοῦ ΓLhAld συλλέγοντες R [συνάγοντες ΓLhAld]. RΓLhAld

book 714a καὶ τὸ ξίφος οὐ δύναμαι: ὥσπερ ὁ Μενέλαος· τοῦτον γάρ φασιν ὁρμήσαντα ἐπὶ τὴν Ἑλένην ἀποβαλεῖν τὸ ξίφος· ἡ δὲ ἱστορία παρ' Ἰβύκῳ (.) RVΓAld καὶ Εὐριπίδῃ. παίζει δέ, ἐπειδὴ ξίφος ἤτησε καὶ ὁρᾷ ἑαυτὸν κατακρατηθέντα. VΓAld

book 714b ἐπειδὴ (a3) … (a3/4) κατακρατηθέντα καὶ μαλακισθέντα, “οὐ δύναμαι”, φησίν, “κατέχειν τὸ ξίφος”. φασὶ γὰρ καὶ τὸν Μενέλαον ὁρμήσαντα (a2) … (a3) Εὐριπίδῃ. Lh(Taur)

book 715a αὐτοὶ τὴν Εὔβοιαν: οἱ ῥήτορες τῷ λόγῳ γὰρ V [καὶ ΓAld] τὴν Εὔβοιαν διδόασιν. VΓAld

book 715b τὴν Εὔβοιαν, φησίν, αὐτοὶ κατανενεμηκέναι 〈φασὶν〉 ὑμῖν VΓ [ἡμῖν Ald] καὶ κλῆρον ἑκάστῳ μεδίμνων ν'· ἐν τοιούτῳ σχήματι εἴρηκεν. VΓAld

book 715c ὁπόταν κτλ.] ὅταν οἱ ῥήτορες δείσωσιν, φησίν, τότε ποιοῦσιν ἡμῖν τὴν Εὔβοιαν ἐπίκληρον λόγῳ μόνῳ. Lh

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 716 ὑφίστανται] ὑπίσχονται. Lh

book 717 ποριεῖν] δοῦναι. Lh

book 718a ξενίας φεύγων: τοιοῦτόν ἐστιν VΓAld [τὸ “ξενίας φεύγων” φησίν Lh], παρόσον ἐν LhAld ταῖς διανομαῖς τῶν πυρῶν ἐξητάζοντο πικρῶς οἱ τότε VΓAld [αὐτόχθονες Lh] πολῖται καὶ μή VΓAld [οἱ ξένοι Lh], ὥστε δοκεῖν ξενίας φεύγειν εἰς κρίσιν καθισταμένους. VΓLhAld φησὶν οὖν ὁ Φιλόχορος αὖθίς ποτε ͵δψξʹ ὀφθῆναι παρεγγράφους, καθάπερ ἐν τῇ προκειμένῃ λέξει δεδήλωται. 〈τὰ〉 περὶ τὴν Εὔβοιαν δύναται καὶ αὐτὰ συνᾴδειν ταῖς Διδασκαλίαις· πέρυσι γὰρ ἐπὶ ἄρχοντος Ἰσάρχου ἐστράτευσαν ἐπ’ αὐτήν, ὡς Φιλόχορος. μήποτε δὲ περὶ τῆς ἐξ Αἰγύπτου δωρεᾶς λέγει, ἣν Φιλόχορός φησι Ψαμμίτιχον V*Γ [Ψαμμήτιχον Ald] πέμψαι τῷ δήμῳ ἐπὶ Λυσιμαχίδου μυριάδας τρεῖς—πλὴν τὰ τοῦ ἀριθμοῦ οὐδαμῶς συμφωνεῖ—, ἑκάστῳ δὲ Ἀθηναίων V [Ἀθηναίῳ ΓAld] πέντε μεδίμνους· τοὺς γὰρ λαβόντας γενέσθαι μυρίους ͵δ διακοσίους μʹ. VΓAld

book 718b σιτοδείας γάρ Lh ποτὲ(ε) γενομένης ἐν τῇ Ἀττικῇ Ψαμμίτιχος VΓLh* [Ψαμμήτιχος Ald], ὁ τῆς Λιβύης βασιλεύς, ἀπέστειλε σῖτον τοῖς Ἀθηναίοις αἰτήσασιν αὐτόν. τῆς δὲ διανομῆς γενομένης VΓAld [γινομένης Lh] τοῦ σίτου ξενηλασίαν ἐποίησαν Ἀθηναῖοι, καὶ ἐν τῷ διακρίνειν τοὺς αὐθιγενεῖς εὗρον καὶ ἑτέρους ͵δψξʹ ξένους παρεγγεγραμμένους. τοῦτο οὖν φησιν, ὅτι καὶ ἐν τῷ ἐρευνᾶσθαι VΓAld αὐτὸς Lh μόγις VΓ [μόλις LhAld] ἔλαβε πέντε μεδίμνους ἐγκαλούμενος ὡς ξένος, καὶ τούτους οὐδὲ VΓAld [οὐχ Lh] ὑφ’ ἓν ἐν συντομίᾳ VΓAld , φησίν. ἔλαβες Lh, ἀλλὰ κατὰ μέρος, VΓAld κατὰ χοίνικα ἕνα . κριθῶν δὲ εἶπεν ὡς Lh οὐδὲν διαφέροντος τοῦ σίτου κριθῶν VΓLhAld ὡς κακοῦ σίτου διανεμηθέντος.

book 718b VΓAld

book 718b, col. 2 διὰ τὸ εὐτελῆ εἶναι αὐτόν. Lh

book 718c ὡς λιμοῦ γενομένου καὶ τῶν ξένων διακριθέντων, τουτέστι δοκιμαζομένων, εἰ πολίτης εἴη ἢ μή. VΓAld

book 721a ἀλαζονευομένους· εἰς τὸ στόμα R

book 721b στομφάζοντας: ἀλαζονευομένους ἢ V Γ3 ἐπεγγελῶντας V Γ3 [ἐπ’ ἔργῳ γελῶντας LhAld]. VΓ3LhAld

book 721c καὶ στομφάσαι (23) ... (24) σύνθετος δὲ ἡ ... (24) τῆς ὄμφακος. (ex Su. s.v. στόμφακα, IV 437, 23 sq.)

book 722 ἀτεχνῶς] ἐκ παντὸς τρόπου. VΓ3Lh

book 723 723] τοῦτο παρατέλευτον λέγεται. Lh

book 724a πάντα σοι V, φησίν, δίδωμι πλὴν ἀπὸ δημοσίων V [δημοσίας Γ3] τροφῆς. VΓ3

book 724b κωλακρέτου: περιφραστικῶς τὸν δικαστικὸν μισθόν. VΓLhAld

book 724c παρ’ ὑπόνοιαν δέον εἰπεῖν ζῴου τινός. VΓLhAld

book 724d 〈 〉 lh*Ald

book 725a στροφὴ στίχων ιαʹ. lhAld

book 725b πρὶν ἂν ἀμφοῖν: κατὰ τὸ μηδὲ δίκην δικάσῃς (.) VΓLhAld, πρὶν ἂν ἀμφοῖν μῦθον ἀκούσῃς. Ald ὑγιῶς δὲ νῦν τὸ “ἀμφοῖν” κεῖται. VΓAld

book 727 τοὺς σκίμπωνας] τὰς βακτηρίας (.) RΓ3LhAld, ἃς εἶχον. Γ3Lh

book 728 συνθιασῶτα] συγχορευτά, ὅ ἐστι συνεργέ. VΓ3Lh

book 729 ἄφρων] ἀνόητος. VΓ3Lh

book 730a

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀτενὴς] μανικός. VΓ3LhAld

book 730b διὰ τὸ ἀεὶ ἀτενὲς βλέπειν τοὺς μανίᾳ κατεχομένους ἀτενῆ τὸν μανικὸν νῦν εἴρηκεν· ἠγριωμένοι γάρ εἰσι(ν) ἀεὶ Lh καὶ ὕφαιμοι τῶν τοιούτων οἱ ὀφθαλμοί. LhAld

book 730c ἀτεράμων ἀνήρ: οἱονεὶ μὴ τεράμων, ἀλλὰ VΓAld σκληρός· ἔνθεν δὲ VΓAld [ὅθεν Lh] καὶ ἀτέραμνα ὄσπριά φαμεν VΓLhAld τὰ μὴ ἑψόμενα διὰ σκληρότητα· παρὰ τὸ RVΓLhAld “τέρεν κατὰ δάκρυ χέουσα”. RVΓAld

book 730c, col. 2 τέρεν τὸ μαλακόν, Lh

book 730c καὶ Πλάτων κέχρηται τῇ λέξει κερασβόλους καὶ ἀτεράμνους λέγων τοὺς σκληροὺς διὰ τούτων· “μή τις γένηται τῶν πολιτῶν κερασβόλος ἢ ἀτέραμνος”. φασὶ γὰρ τὰ κατὰ τῶν κεράτων βληθέντα σπέρματα ἀτέραμνα γίνεσθαι. VΓAld

book 730d ἀτεράμων] σκληρός. VΓ3

book 732 τις ὅστις] λείπει τὸ Γ3 “τοιοῦτος”. VΓ3

book 733a νῦν (pr.)] σοί. lh

book 733b ἐμφανὴς: ἴσον τῷ “ἐναργής”, οὐχὶ τῷ “φαινόμενος”. VΓ3LhAld

book 737a χόνδρον] ὃν ἄλικα V [ἄλικα Γ3Lh] Ῥωμαῖοι καλοῦσιν. VΓ3Lh

book 737b ὅπως κατασκευάζεται ὁ χόνδρος, εἴρηται ἐν τῷ τῶν Ἱππέων δράματι. Lh

book 738 σισύραν: ἡ Lh σισύρα καλεῖται παρὰ μέν τισιν ἡ βαίτη. VΓAld ἔστι δὲ περιβόλαιον VΓ*Ald [περιβόλαιόν ἐστιν Lh] ἐκ δερμάτων συνερραμμένον VLh [συνερραμμένων ΓAld] προβατείων V*Lh [προβάτων ΓAld] ἐχόντων τὰ ἔρια. οἱ δὲ ἀκριβέστεροί φασι χλαῖναν παλαιὰν VΓAld εἶναι ἁπλοΐδα. τὴν αὐτὴν δὲ καὶ σισύραν VΓAld καλοῦσι καὶ σίσυρναν V [σισύρναν ΓLhAld]. VΓLhAld

book 742 προσέσθαι: ἐφελκύσασθαι.

book 743 νενουθέτηκεν αὑτὸν: ὁ χορὸς ἀναδέχεται τὸ πρόσωπον τοῦ Φιλοκλέωνος (.) καί φησιν· Lh μετέγνω , φησίν, VΓ Ald ἐπὶ τοῖς πεπραγμένοις αὐτῷ πάλαι. VΓLhAld

book 745 ἁμαρτίας] καὶ VLh διὰ τοῦτο σιωπᾷ. VΓ3Lh

book 750 μή μοι τούτων: ἐξ Ἱππολύτου Εὐριπίδου. V Γ3LhAld

book 751 κεῖθι: ἐν τοῖς δικαστηρίοις. VΓ3LhAld

